Petit 258/11
928

1787 Δεκεμβρίου 1 ημέρα Σαββάτου εσχήρωσεν
το κοινόν χρέος ο μακαρίτης Λένος μοναχός του
Νικολάου Γεωργίου, και έθαψαν εις την ενορίαν της εκκλησί-
ας της υπεραγίας Θεοτόκου της κοιμήσεως κατά το
ναόν κοιμήσεως Σάρου

το παρόν ... το έχων ο πατέρας μου Λένος
Δημήτρης Ιωάννου ... παρόντων αγγέλων
... Μονής Δημητρίου ...
... της αυτής εκκλησίας
1848 Αυγούστου 1
ναόν κοιμήσεως Σάρου

---

1814 Παρασκευή Ιανουαρίου 3 ημέρα Κυριακή
εσχήρωσεν το κοινόν χρέος ο μακαρίτης πάτερ
μου Λένος Δημήτρης. του Λένου Ιωάννου:-

---

1847 Νοεμβρίου 27 ημέρα Σαββάτου εσχήρωσεν το
κοινόν χρέος ... χρέος Ηρ...




αψπζ· ὀκτωβρ· η· τὴν σαρκὸν φυλακὴν εἰς ἀφιέρωσιν ὁ Δημήτρης Τσουρμακης ἀπὸ Μαραθωνοσον· ἀναγνώστης ἐπὶ χεῖρας ὑπὸ τὸν Θεον

# Η῾ ΘΕΙ´Α, ΚΑΙ` ΙΕΡΑ`

# Α᾿ΚΟΛΟΥΘΙ´Α

ΤΟΥ῀ Ε᾿Ν Α῾ΓΙ´ΟΙΣ ΠΑΤΡΟ`Σ Η῾ΜΩ῀Ν

# ΣΠΥΡΙ´ΔΩΝΟΣ

Ε᾿ΠΙΣΚΟ´ΠΟΥ ΤΡΙΜΥΘΟΥ῀ΝΤΟΣ

## ΤΟΥ῀ ΘΑΥΜΑΤΟΥΡΓΟΥ῀,

ΠΑΤΡΟ`Σ, ΚΑΙ` ΠΡΟΣΤΑ´ΤΟΥ ΚΕΡΚΥ´ΡΑΣ.

Νεωστὶ μετατυπωθεῖσα μετὰ τῆς προσθήκης τῶν Ε᾿γκωμίων τῶν ψαλλομένων ἐν ταῖς Α᾿γρυπνίαις τῆς αὐτοῦ Πανηγύρεως.

Ε᾿ν τῷ τέλει προσετέθη καὶ ἡ Α᾿κολουθία τοῦ γεγονότος ὑπερφυοῦς θαύματος ἐν Κερκύρᾳ κατὰ τῶν Α᾿γαρηνῶν ὑπὸ τοῦ αὐτοῦ Θαυματουργοῦ Προστάτου καὶ ἀντιλήπτορος.

Ε᾿ Ν Ε Τ Ι´ Η Σ Ι. αψξδ.

Παρὰ Α᾿ντωνίῳ τῷ Βόρτολι. 1764

CON LICENZA DE' SUPERIORI, E PRIVILEGIO.

ἡ Πορνία φυλακὴ θεὸς εἰς ὑπερμαχίας θεο τόκου καὶ ἡ Νέα Κερκύρας :—

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

# ΔΕΚΕΜΒΡΙΩ, ιβ'.

## ΜΝΗΜΗ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΣΠΥΡΙΔΩΝΟΣ

## ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ.

Ἐν τῷ μικρῷ Ἑσπερινῷ ἱστῶμεν στίχ. δ'. καὶ ψάλλομεν στιχηρὰ προσόμοια, ἦχος, πλ. δ'.

Ὢ τοῦ Παραδόξου Θαύματος.

Πάτερ ΣΠΥΡΙΔΩΝ μακάριε, Θαυμάτων πέλαγος ὤν, καὶ πηγὴ ἀνεξάντλητος, νόσῳ κατεχόμενον, καὶ θανάτῳ Κωνστάντιον, τὸν Βασιλέα τούτων ἀπήλλαξας· καὶ νουθεσίαις αὐτὸν κατέπεισας, παρατηρεῖν ἀεί, Ἱερεῦσιν ἅπασιν ὡς τῷ Θεῷ, πάντοτε λατρεύουσι, καλῶς προσφέρεσθαι.

Πάτερ ΣΠΥΡΙΔΩΝ θαυμάσιε, ταῖς ἀρεταῖς γεγονώς, ὑψηλὸς καὶ περίβλεπτος, Ἱεράρχης ἄκακος, ἐχρημάτισας Ὅσιε, καλῶς ποιμάνας Χριστοῦ τὸ ποίμνιον, καὶ πάντα λύκον πόῤῥω ἀπήλασας, καὶ καθωδήγησας, πρὸς τὴν ἐπουράνιον μάνδραν πιστούς, τούτοις προηγούμενος Ποιμὴν ὡς ἄριστος.

Πάτερ ΣΠΥΡΙΔΩΝ πανόλβιε, τὸν ἐν Τριάδι Θεὸν προσκυνῶν καὶ σεβόμενος, τὴν Ἀρείου ἄθεον, σὺ καθεῖλες διαίρεσιν· καὶ τὸν ἀχρόνως Πατρὸς ἐκλάμψαντα, καὶ ἐκ μὴ

ὄντων τὸν Κόσμον ἅπαντα, δημιουργήσαντα, Λόγον ἀνεκήρυξας ἶσον Πατρὶ, τοῦτου τε τὴν δύναμιν τὴν ἐνυπόστατον.

Δόξα, ἦχος, ά.

Ὅσιε Πάτερ μακάριε, ΣΠΥΡΙ´ΔΩΝ σοφὲ, τὴν νεκρὰν, ὥσπερ ζῶσαν, ἐπηρώτας δι᾽ ἀγάπην Θεοῦ. Ὄφιν δὲ μετέβαλες εἰς χρυσὸν, ὁ πενίαν ἀσκῶν· ῥύσιν δὲ ἐπέσχες Ποταμοῦ, συμπαθήσας λαῷ· Βασιλεῖ δὲ παρέσης Ἰατὴρ τῇ προνοίᾳ Θεοῦ· νεκροὺς δὲ πάλιν ἤγειρας, ὡς αὐτοῦ Μαθητής· τὴν πίστιν δὲ ἐτράνωσας, ἀναμέσον Πατέρων πολλῶν. πάντα σὺν ἰσχύων ἐν τῷ ἐνδυναμοῦντί σε Χριστῷ, αὐτὸν καὶ νῦν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν, Προεόρτιον, ἦχος, ά.

Προεορτάσωμεν λαοὶ Χριστοῦ τὰ Γενέθλια. καὶ τὸν νοῦν ἐπάραντες ἐπὶ τὴν Βηθλεέμ, ἀναχθῶμεν τῇ διανοίᾳ, καὶ κατίδωμεν τὸ ἐν σπηλαίῳ μέγα Μυστήριον· ἠνοίκται γὰρ ἡ Ἐδὲμ, Θεοῦ προερχομένου ἐκ Παρθένου ἁγνῆς, τέλειος ὑπάρχων ὁ αὐτὸς ἐν Θεότητι καὶ ἀνθρωπότητι. διὸ κράξωμεν· Ἅγιος ὁ Θεὸς ὁ Πατὴρ ὁ ἄναρχος· Ἅγιος ἰσχυρὸς ὁ Υἱὸς ὁ σαρκωθείς. Ἅγιος ἀθάνατος τὸ παράκλητον Πνεῦμα, Τριὰς Ἁγία δόξα σοι.

Εἰς τὸν στίχ. ἦχος, β΄. Οἶκος τοῦ Εὐφραθᾶ.

Χαίροις Ἱεραρχῶν, τὸ κλέος Θεοφόρε, Πατὴρ ἡμῶν ΣΠΥΡΙ´ΔΩΝ, τῆς Οἰκουμένης πρέσβυς, πρὸς τὸν Θεὸν θερμότατος.

Ὕμνοις σου τὴν σεπτὴν, καὶ φωτοφόρον μνήμην, τελοῦντες ἐπαξίως, δοξάζομεν ἀπαύστως, Χριστὸν τὸν σὲ δοξάσαντα.

Σὺ Πάτερ τὸ τριττὸν, τῆς Θεαρχίας κράτος, ἐν μέσῳ τῆς Συνόδου, κηρύξας τὸν ληρώδη, Φιλόσοφον κατήσχυνας.

Δόξα, ἦχος, πλ. δ΄.

Ἔγνως μὲν τῇ πολιτείᾳ σου, Θεὸν τὸν βλέποντα τὰ κρύφια, τὴν δὲ ψυχήν σου δεκτικὸν τῆς Τριάδος ἀπεργασάμενος σκήνωμα, ἁγνῶς ἐδέξω ταύτην Πάτερ Ὅσιε,

καὶ



καὶ νῦν ἀστράπτεις ἐμφορούμενος τοῦ θείου φωτός. διὸ καὶ τὸ τίμιον καὶ θεοφόρητον Σῶμά σου, ὡς ἱερὸν κειμήλιον ἔχοντες, καὶ πηγὴν ὄντως παντοίων θαυμάτων, πίστει συνερχόμενοι, Ἱεράρχα σὲ δοξάζομεν, ῥῶσιν κομιζόμενοι ψυχῆς καὶ σώματος· ὡς γὰρ μιμητὴς τοῦ Δεσπότου, τοῖς πιστοῖς νέμεις τὰ πρόσφορα.

Καὶ νῦν, ὁ αὐτὸς, Προεόρτιον.

Βηθλεὲμ ἑτοιμάζου, εὐτρεπιζέσθω ἡ φάτνη· τὸ σπήλαιον δεχέσθω· ἡ ἀλήθεια ἦλθεν, ἡ σκιὰ παρέδραμε· καὶ Θεὸς ἀνθρώποις ἐκ Παρθένου πεφανέρωται, μορφωθεὶς τὸ καθ᾽ ἡμᾶς, καὶ θεώσας τὸ πρόσλημμα. διὸ Ἀδὰμ ἀνανεοῦται σὺν τῇ Εὔᾳ κράζοντες· ἐπὶ γῆς εὐδοκία ἐπεφάνη, σῶσαι τὸ γένος ἡμῶν.

---

ἘΝ ΔΕ᾽ ΤΩ͂ι ΜΕΓΑ´ΛΩι ἙΣΠΕΡΙΝΩ͂ι,

Τὸ, Μακάριος ἀνήρ. Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ς΄. καὶ ψάλλομεν τὰ παρόντα στίχ. προσόμοια, ἦχος, ά.

Τῶν Οὐρανίων Ταγμάτων.

Ἐν τῇ τοῦ Πνεύματος αἴγλῃ καταλαμπόμενος, τὸ ζοφερὸν καθεῖλεν, ὁ σοφὸς Ἱεράρχης, Ἀρείου καὶ ληρώδες· ὅθεν ἁπλῶς, δογματίσας Τριάδα σεπτὴν, ὑπὸ σοφῶν ἐδοξάσθη καὶ συνετῶν, καὶ τὴν Σύνοδον ἐκύρωσε.

Ταῖς οὐρανίαις ἀκτῖσι περιλαμπόμενος, τῇ τοῦ Χριστοῦ δυνάμει, τὰς ἰάσεις παρέχεις, ψυχῶν τε καὶ σωμάτων τοῖς πίστει θερμῇ, ἐκτελοῦσι τὴν μνήμην σου, Θεομακάριστε Πάτερ θαυματουργὲ, καὶ ὑμνοῦσι τὸν Σωτῆρα Χριστόν.

Τοῦ ἀμπελῶνος ἐργάτης διὰ τῆς πράξεως, τῶν ἐντολῶν ἐδείχθης τοῦ Χριστοῦ Θεοφόρε. διὸ τῆς Βασιλείας τῆς αἰωλαβών, μυστικῶς τὸ δηνάριον, ἀδιαλείπτως ΣΠΥΡΙ´ΔΩΝ ὑπὲρ ἡμῶν, Θεῷ εὔχου τῶν τιμώντων σε.

 Ἐτ-

Ἕτερα στιχηρὰ προσόμοια, ἦχος, ὁ αὐτός.

Ὢ τοῦ Παραδόξου Θαύματος.

Ὢ Τοῦ Παραδόξου Θαύματος· τῷ λαμπρῷ Φωστῆρι, συμψάλλουσιν Ἄγγελοι, ὡς ζῶσα δὲ ἡ νεκρὰ αὐτῷ προσφθέγγεται· ὃς ῥεύματα ποταμοῦ, ἀναχαιτίσας τῷ ῥήματι ἔστησε· καὶ Διακόνου ποτὲ, τὴν ἀφωνίαν ὁ μέγας ἰάσατο. τὸ καυσῶδες τοῦ Ἡλίου, ὡς ἡ Παίδων κάμινος, μετεβλήθη εἰς δρόσον, Τριφυλλῖνος διασώζεται.

Δεῦρο τῶν Πιστῶν τὸ σύστημα, τὸν ἁπλοῦν καὶ πρᾶον, ἀκέραιον ἄκακον, τὸν μέγαν ἐν Ἱεράρχαις προεξάρχοντα, Σπυρίδωνα τὸν σοφὸν, τὸν τῆς Νικαίας Συνόδου ὑπέρμαχον· τὸν καθελόντα νεύραις, ὀρθῶν δογμάτων τὸν ἄθεον Ἄρειον, ἐπαξίως συνελθόντες, λαμπρῶς εὐφημήσωμεν, ὡς φωτίσαντα πᾶσαν, Οἰκουμένην τοῖς διδάγμασι.

Χαίροις ἡ λαμπρὰ καὶ εὔσημος, Κερκυραίων Πόλις, ὁμήγυρις ἔνδοξος. ἡ ἔχουσα τὴν Σορὸν τὴν τοῦ τρισμάκαρος, Σπυρίδωνος τοῦ σοφοῦ· ἐξ ἧς πηγάζει πιστοῖς τὰ ἰάματα, τοῖς πόῤῥω καὶ τοῖς ἐγγὺς, πρὸς ἀῤῥωγὴν ὀξυτάτη ὑπάρχουσα· καὶ σὲ Κερκύρα φρουροῦσα, ἀπὸ πάσης θλίψεως, καὶ λιμοῦ καὶ θανάτου, καὶ κινδύνων καὶ κακώσεων.

Δόξα, καὶ νῦν, ἦχος, α΄.

Ποίημα Ἐμμανουὴλ Χρυσάφη τοῦ Δουκός.

Ἐψάλλετο ἐν τῇ Βασιλίδι τῶν Πόλεων.

Θεαρχίῳ νεύματι, πάντοθεν τὰ τῶν ἀνθρώπων συστήματα, ἀπὸ οἰκείων δωμάτων φερόμενα, πλ. α΄. Καταλαβόντα τὴν πανέντιμον τοῦ Λειψάνου σου θήκην, ἀξίως ἀσπάζονται. β΄. Αἱ δὲ ὑπέρτατοι τῶν ἐπὶ γῆς ἀξίαι, σὺν Βασιλεῖ ἡγεμόνι παραγενόμεναι. πλ. β΄. Τὸ Θεοφόρον καὶ ἀξιέπαινον σκῆνος σου ἐξάδουσαι, τῷ δέει κρατούμεναι, ὑπὲρ ἐπαίνου δὲ ποιούμεναι· καὶ ὁρατῶς ἐκβοῶσι τὴν τῶν ᾀσμάτων σοι μελῳδίαν· ἰδοὺ ὁ θαυμάσιος Σπυρίδων νῦν προτίθεται. γ. Ἄρωμεν τοίνυν τὸν ὕμνον, καὶ κατὰ δύναμιν ὑμνήσωμεν

τῶν



τῶν Ἀρχιερέων τὸ μέγα κλέος. βαρύς. Διὰ τούτου γὰρ ἡ παγγενὴς, Κωνσταντιανῶν σωτηρία γίνεται· ᾧ ἀτενίζειν ἐκ ἰσχύουσιν ἔθνη πάντα, ἀξιόν τε ἀπονέμειν ἐφύμνιον. δ΄. Τούτου γὰρ τὸ τῶν θαυμάτων ὑπερέχει πᾶσαν ἔννοιαν. πλ. δ΄. Διὸ πάνσοφε Ἱεράρχα, ἀεὶ σὺν τῇ Μητρὶ τοῦ Ἰησοῦ, καὶ μετὰ πότμον πρέσβευε διηνεκῶς, περιφρουρῆσαι καὶ σῶσαι, ἀπὸ πάσης προσβολῆς ἐναντίας τὴν νεολαίαν σου· τὴν γὰρ ὑμῶν προστασίαν κεκτήμεθα. α΄. Εἰς τοὺς αἰῶνας ἀγλαοφανῶς μακαρίζοντες.

Εἴσοδος. τὸ, Φῶς ἱλαρόν.

Τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.

Μνήμη δικαίου μετ᾽ ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. μακάριος ἄνθρωπος ὃς εὗρε σοφίαν, καὶ θνητὸς ὃς εἶδε φρόνησιν. κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν. οὐκ ἀντιτάσσεται αὐτῇ οὐδὲν πονηρόν. πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστιν. ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη. νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. τοιγαροῦν ἀκούσατέ μου ὦ τέκνα, σεμνὰ γὰρ ἐρῶ, καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. αἱ γὰρ ἔξοδοί μου ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐεμαι ἐμὴν φωνὴν Υἱοῖς ἀνθρώπων· ὅτι ἐγὼ ἡ Σοφία κατεσκεύασα βουλὴν καὶ γνῶσιν καὶ ἔννοιαν. ἐγὼ ἐπεκαλεσάμην· ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμοὶ φρόνησις, ἐμοὶ δὲ ἰσχύς. ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν καὶ δόξαν· νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. εἰσακούσατέ μου καὶ πάλιν· σεμνὰ γὰρ ἐρῶ· καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθὰ, ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου. ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ. μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου. οὐδὲν ἐν αὐτοῖς σκολιὸν, οὐδὲ στραγγαλιῶδες.

παν-

πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. διδάσκω γὰρ ὑμᾶς ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν, καὶ πλησθήσεσθε πνεύματος.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

ΣΤόμα δικαίου ἀποστάζει σοφίαν, γλῶσσα δὲ ἀδίκου ἐξολεῖται. χείλη ἀνδρῶν σοφῶν ἐπίστανται χάριτας, στόμα δὲ ἀσεβῶν καταστραφήσεται. ζυγὸς δόλιος βδέλυγμα ἐνώπιον Κυρίου, στάθμιον δὲ δίκαιον δεκτὸν αὐτῷ ἐστιν. οὗ ἐὰν εἰσέλθῃ ὕβρις, ἐκεῖ καὶ ἀτιμία. στόμα δὲ σοφῶν μελετᾷ σοφίαν. τελειότης εὐθέων ὁδηγήσει αὐτούς. οὐκ ὠφελήσει ὑπάρχοντα ἐν ἡμέρᾳ θυμοῦ. δικαιοσύνη δὲ ῥύεται αὐτοὺς ἐκ θανάτου. ἀποθανὼν δίκαιος ἔλιπε μεταμέλον· πρόχειρος δὲ γίνεται καὶ ἐπίχαρτος ἀσεβῶν ἀπώλεια. δικαιοσύνη ἀμώμου ὀρθοτομεῖ ὁδούς, ἀσέβεια δὲ περιπίπτει ἄνομος. δικαιοσύνη ἀνδρῶν ὀρθῶν ῥύεται αὐτούς, τῇ δὲ ἀσεβείᾳ ἑαυτῶν ἁλίσκονται παράνομοι. τελευτήσαντος ἀνδρὸς δικαίου οὐκ ὄλλυται ἐλπίς, τὸ δὲ καύχημα τῶν ἀσεβῶν ὄλλυται. δίκαιος ἐκ θήρας δύνει, ἀντ' αὐτοῦ δὲ παραδίδοται ἀσεβής, ἐν στόματι παρανόμων παγὶς πολίταις. αἴσθησις δὲ δικαίων εὔοδος. ἐν ἀγαθοῖς δικαίων κατώρθωται πόλις, καὶ ἐν ἀπωλείᾳ ἀσεβῶν ἀγαλλίαμα. ἐν εὐλογίᾳ εὐθέων ὑψωθήσεται πόλις. στόματι δὲ ἀσεβῶν κατασκαφήσεται. μυκτηρίζει πολίτας ἐνδεὴς φρενῶν. ἀνὴρ δὲ φρόνιμος ἡσυχίαν ἄγει.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

ΔΊκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὔτε ἀριθμῷ ἐτῶν μεμέτρηται. πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη· ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους





μακρούς. ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ. διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας· οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον. ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Εἰς τὴν Λιτήν, ἦχος, α'.

ΠΝευματικὴ πανήγυρις σήμερον ἀδελφοί, σκιρτάτω ἡ φύσις, χορευέτω ἡ ἀνθρωπότης. συνεκάλεσε γὰρ ἡμᾶς ὁ θαυμάσιος ΣΠΥΡΊΔΩΝ, τὸ θειότατον κειμήλιον τῶν Ἀρχιερέων· ὁ ποταμὸς τῶν θαυμάτων ὁ πλημμυρήσατος· τὸ κατοικητήριον τοῦ Ἁγίου Πνεύματος· ἡ ἀκένωτος τῶν ἰαμάτων καὶ ξένη θάλασσα· ὁ στερρότατος τῆς Ἐκκλησίας καὶ ἀκράδαντος πύργος· ἡ ὄντως κρηπὶς Ὁσίων, καὶ Φωστὴρ Οἰκουμένης ὁ πολύφωτος. αὐτοῦ ταῖς ἱκεσίαις Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.

Ὁ αὐτός.

ὮΩ Θαύματος φρικτοῦ, ἡ νεκρὰ πυθομένῳ, φωνὴν ζῶσαν σοι δέδωκεν. ὁ ῥοῦς δὲ τοῦ ποταμοῦ ἀνεστάλη, διὰ λόγου σου προστακτικοῦ. ἡ τοῦ Ἄνακτος νόσος εὐχῆς σου φυγαδεύεται. ὁ ὄφις εἰς εἶδος χρυσοῦν ἀντιμετηλλάττετο· νεκροὶ ἐξηγέρθησαν. ἐνεργεῖ γὰρ ἐν σοὶ ὁ τῶν ἁπάντων Ἱεράρχης Χριστὸς ὁ Θεὸς ἡμῶν, ΣΠΥΡΊΔΩΝ Ἱεράρχα σοφέ, ὁ τῆς Τριάδος τὸ δόγμα ἀνακηρύξας τρανῶς.

Ὁ αὐτός.

ΤΊς μὴ θαυμάσῃ τῶν σῶν θαυμάτων, Ἱεράρχα ΣΠΥΡΊΔΩΝ, τὸ ἀκένωτον πέλαγος; ὄμβρον γὰρ ἐξ Οὐρανοῦ προσευχῆς σου κατήγαγες, καὶ τὰς αὐχμώσας ἀρούρας ἐμέθυσας, καὶ λιμὸν διέλυσας. ὢ τοῦ θαύματος· νεκρὰν ἐξανέστησας ζωοποιῷ σου προσφθέγματι. ὄφιν εἰς χρυσὸν μετέβαλες. ἐξαίσια καὶ ἄπειρα ὄντως ὑπάρχει σου τὰ θαυμάσια. οὕτως οἶδε δοξάζειν Θεὸς τοὺς αὐτὸν δοξάζοντας. ἡμεῖς δὲ περικυκλοῦντες τὴν τιμίαν σου Σορόν, καὶ κατασπαζόμενοι ταύτην ἀναξίοις χείλεσι, ῥῶσιν ψυχῶν τε καὶ σωμάτων λαμβάνομεν· μεγαλύνοντες τὸν σὲ δοξάσαντα Κύριον, ὃν παρρησίᾳ πρεσβεύεις ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ὁ αὐτός.

Ὅσιε Πάτερ, Ἱεράρχα ἀοίδιμε, Ἀποστολικῆς διδασκαλίας, γενόμενος ἔμπλεως· καὶ τοῦ θείου Πνεύματος καταγώγιον, δι' ἐναρέτου πολιτείας ἀναδειχθείς, τῆς Ἐκκλησίας τοὺς λύκους, διὰ δογμάτων ἀπήλασας. καὶ τὴν ὀρθόδοξον Πίστιν σαφῶς τρανώσας, στῦλος ἀναδείκνυσαι, καὶ εὐσεβείας πρόμαχος. ἀλλ' ὦ Πατέρων ἐγκαλλώπισμα, καὶ Διδασκάλων συνόμιλε, τῷ Σωτῆρι πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὁ αὐτός.

Πανήγυρις φαιδρά, Ἱερὰ πανδαισία. δεῦτε πιστοὶ μεθέξωμεν. ΣΠΥΡΙΔΩΝ γὰρ ἡμᾶς συγκαλεῖται, ἑστιάτωρ ὢν πνευματικός· οὗ ἡ τράπεζα θεία, ἡδέα τὰ θαύματα. αὐτοῦ μιμησώμεθα τὸ πρᾶον, τὸ ἄκακον, τὸ ἁπλοῦν, τὸ φιλάνθρωπον, τὸ περὶ πάντα σῶφρον· ἐφ' οἷς ἐν Ἀρχιερεῦσιν, ὡς φῶς ἐξέλαμψε.

Ὁ αὐτός.

Τῷ θείῳ φωτὶ καταυγασθεὶς τὴν καρδίαν, καὶ νοῦν ἐλλαμφθείς, τοῖς ἐπὶ γῆς ὡς Ἄγγελος ΣΠΥΡΙΔΩΝ πᾶσιν ἀνεδείχθης. πρᾶός τε καὶ ἀκέραιος, ὅλος κατηγλαϊσμένος τῇ χάριτι τοῦ Χριστοῦ· ὅθεν πιστοῖς ἀΰλως χορηγεῖς, σωμάτων ἱερὰν τρυφήν, καὶ σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Ὁ αὐτός.

Ὡς συμπαθὴς καὶ πρᾶος ἐφάνης ἐν τῷ Κόσμῳ, καὶ Χριστοῦ δοῦλος γνήσιος· καὶ θαυμάτων χάριν ἀφθόνως παρέχεις, ἐν τῇ σεπτῇ καὶ φαιδρᾷ κοιμήσει σου Πάτερ. δόξα τῶν Ἀρχιερέων ΣΠΥΡΙΔΩΝ Ἱερουργέ, ξίφει δαιμόνων ἀφανίζων, καὶ νόσους ἀπελαύνων πάντοτε. πανᾳοίδιμε Ἱεράρχα, θεσπέσιε σημειοφόρε, Φωστὴρ τῶν πιστῶν διαυγέστατε, Ἐκκλησίας τὸ στήριγμα, φωτὸς δοχεῖον καὶ παράκλησις τῶν πιστῶν.

Ὁ αὐτός.

Ἀρετῶν εἰς μέγιστον καὶ αἰθέριον ὕψος, ἀναβὰς Θεοφόρε, τὴν σύμπασαν φωτίζεις ταῖς τῶν θαυμάτων ἀστραπαῖς· ἀπαθείας λάμπων χαρίσμασιν, ἁπλότητος αἴγλῃ,

ΣΠΥ-



ΣΠΥΡΙΔΩΝ Ἱερέ. διὸ πάντες πίστει καὶ πόθῳ συνελθόντες, καὶ κατασπαζόμενοι τὸ πάνσεπτόν σου Σκῆνος, προσφωνοῦμέν σοι ταῦτα· χαῖρε στῦλε Οὐράνιε, τῶν θλιβομένων παραμυθία· χαῖρε στήλη τῶν ἀρετῶν. χαῖρε ἀδιάσειστε πύργε δογμάτων τῆς Πίστεως, ἐν σοὶ ἅπαν χάρισμα τοῦ Πνεύματος πεφανέρωται, Ἱεράρχα πιστῶν ὁ προστάτης, καὶ τῶν ἐν νόσοις ἑτοιμότατος θεραπευτής. χαῖρε τῆς ἐπουρανίου Ἱεραρχίας κοινών.

Δόξα, ἦχος, πλ. β'.

Ὅσιε Πάτερ, σὺ ἐν ἀρεταῖς διαλάμψας τῷ Χριστῷ εὐηρέστησας, πρότερον μὲν κατὰ τῶν παθῶν ἀνδρισάμενος, τὴν ψυχὴν καὶ τὸ σῶμα ἡγίασας. ὕστερον δὲ τῆς Ἐκκλησίας ταραττομένης ὑπὸ τοῦ Χριστομάχου Ἀρείου, τὴν Σύνοδον συνηγόρησας· τὰς αἱρέσεις ἐκείνου, καὶ τὸν αὐτοῦ ὁμόφρονα ληρώδη Φιλόσοφον, γενναίως κατέβαλες. ὑποδείξας δὲ καὶ τὸ Τρισήλιον τῆς Θεαρχίας Κράτος, ἄλλος Ἥλιος ὤφθης ἐν μέσῳ τῆς ἱερᾶς ἐκείνης Συνάξεως. διὸ συνελθόντες, Ἁγιώτατε Πάτερ, ΣΠΥΡΙΔΩΝ Σοφέ, πόθῳ τὴν θείαν περικυκλοῦμέν σου Λάρνακα· καὶ τὸ Ἱερὸν καὶ ἅγιον Σῶμά σου περιχαρῶς ἀσπαζόμενοι, ῥῶσιν ψυχῶν τε καὶ σωμάτων λαμβάνομεν. μεγαλύνοντες τὸν σὲ δοξάσαντα Κύριον, ὃν παρρησίᾳ πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν, ὁ αὐτός.

Σπήλαιον εὐτρέπιζε, ἡ Ἀμνὰς γὰρ ἥκει Ἔμβρυον φέρουσα Χριστόν. Φάτνη δὲ ὑποδέχου τὸν τῷ λόγῳ λύσαντα, τῆς ἀλόγου πράξεως ἡμᾶς τοὺς γηγενεῖς. Ποιμένες ἀγραυλοῦντες, μαρτυρεῖτε θαῦμα τὸ φρικτόν. καὶ Μάγοι ἐκ Περσίδος, χρυσὸν καὶ λίβανον καὶ σμύρναν τῷ Βασιλεῖ προσάξατε, ὅτι ὤφθη Κύριος ἐκ Παρθένου Μητρός· ὅνπερ καὶ κύψασα δουλικῶς ἡ Μήτηρ προσεκύνησε, καὶ προσεφθέγξατο τῷ ἐν ἀγκάλαις αὐτῆς· πῶς ἐνεσπάρης μοι, ἢ πῶς μοι ἐνεφύης, ὁ Λυτρωτής μου καὶ Θεός;

Εἰς

Εἰς τὸν στίχ. ἦχος, πλ. α΄. Χαίροις ἀσκητικῶν ἀληθῶς.

Χαίροις Ἀρχιερέων κανών, τῆς Ἐκκλησίας ἀδιάσειστον ἔρεισμα· τὸ κλέος τῶν ὀρθοδόξων· ἡ τῶν θαυμάτων πηγή· ἰαμάτων ῥεῖθρον μὴ κενούμενον· Φωστὴρ ὁ πολύφωτος· τὸ τοῦ Πνεύματος ὄργανον· ὁ νοῦς ὁ Θεῖος, ὁ πραῢς καὶ ἀκέραιος, ὁ ἁπλότητι ἀληθεῖ καλλυνόμενος· Ἄνθρωπε ἐπουράνιε, ἐπίγειε Ἄγγελε, τοῦ ἀμπελῶνος ἐργάτα. ὁ τοῦ Χριστοῦ δοῦλος γνήσιος· αὐτὸν ἐκδυσώπει, παρασχεῖν τοῖς σὲ τιμῶσι τὸ μέγα ἔλεος.

Στίχ. Τίμιος ἐναντίον Κυρίου.

Πρᾷος καὶ κληρονόμος τῆς γῆς, σὺ τῶν πραέων ἀληθῶς ἀναδέδειξαι, ΣΠΥΡΙΔΩΝ Πατέρων δόξα, ὁ ταῖς νευραῖς τῶν σοφῶν, καὶ ἁπλῶν σου λόγων Θείᾳ χάριτι, ἐχθρὸν τὸν παμπόνηρον, καὶ παράφρονα Ἄρειον, καταπατήσας, καὶ τὸ δόγμα τὸ ἔνθεον, καὶ σωτήριον, ἀνυψώσας τῷ πνεύματι. πάντας τοὺς ὀρθοδόξους τε, φωτίσας λαμπρότητι, ἕνα δοξάζειν τὸν Λόγον, ὡς ἀληθῶς ὁμοούσιον, Πατρὶ προανάρχῳ, παρεχόμενον τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Στίχ. Οἱ Ἱερεῖς σου Κύριε ἐνδύσονται.

Πάθη ἀπονεκρώσας σαρκός, νεκροὺς ἐν χάριτι Θεοῦ ἐξανέστησας· καὶ ὄφιν χρυσοῦν εἰργάσω· καὶ ποταμοῦ τὰς ὁρμάς, προσευχῇ σου Πάτερ ἐχαλίνωσας. νυκτὸς Βασιλεῖ τε, ἐπιφανεὶς κινδυνεύοντι, τοῦτον ἰάσω, τῇ καθ' ὕπαρ ἐγγύτητι, τοῦ Κυρίου σε, παραδόξως δοξάζοντος. ὅθεν μεγαλοφώνως σου, τὴν μνήμην γεραίρομεν, καὶ τῶν Λειψάνων ΣΠΥΡΙΔΩΝ, τὴν ἱερὰν Σορὸν σέβομεν· ἐξ ἧς ἀναβλύζεις, ἰαμάτων Θεῖα ῥεῖθρα καὶ μέγα ἔλεος.

Δόξα, ἦχος, β΄.

Ἱεραρχῶν τὸ Θεῖον κειμήλιον, Πάτερ Ὅσιε ΣΠΥΡΙΔΩΝ σοφέ, σὺ ἐν ἀρεταῖς ἀναδέδειξαι. ὅθεν τῆς Ἐκκλησίας πρόμαχος γενόμενος, Αἱρεσιάρχας ἐξώθησας, καὶ τοῦ Ἀρείου τὸ βλάσφημον, συνοδικῶς εἰς γῆν κατηδάφισας. διὸ θαυ-

μα-



ματουργῶν ἐν ἔργῳ καὶ λόγῳ, τὸν Σωτῆρα ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν. Καὶ νῦν, ὁ αὐτός.

Ἰδοὺ καιρὸς ἤγγικε τῆς σωτηρίας ἡμῶν, εὐτρεπίζου σπήλαιον, ἡ Παρθένος ἐγγίζει τοῦ τεκεῖν. Βηθλεὲμ γῆ Ἰούδα, τέρπου καὶ ἀγάλλου, ὅτι ἐκ σοῦ ἀνατέταλκεν ὁ Κύριος ἡμῶν. ἀκούσατε ὄρη, καὶ βουνοί, καὶ τὰ περίχωρα τῆς Ἰουδαίας· ὅτι ἔρχεται Χριστός, ἵνα σώσῃ ὃν ἔπλασεν ἄνθρωπον ὡς φιλάνθρωπος.

Ἀπολυτίκιον, ἦχος, α΄.

Τῆς Συνόδου τῆς πρώτης ἀνεδείχθης ὑπέρμαχος· καὶ Θαυματουργὸς λόγῳ μόνῳ ποταμοὺς ἀνεχαίτισας, ΣΠΥΡΙΔΩΝ μακάριε σοφέ. ὅθεν νεκρᾷ σὺ ἐκ τάφου προσφωνεῖς, καὶ ὄφιν εἰς χρυσοῦν μετέβαλες· καὶ ἐν τῷ μέλπειν τὰς Ἁγίας σου εὐχάς, Ἀγγέλους ἔσχες συλλειτουργοῦντάς σοι Ἱερώτατε. δόξα τῷ δεδωκότι σοι ἰσχύν. δόξα τῷ σὲ στεφανώσαντι. δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ τοιαῦτα τέρατα.

Δόξα, τὸ αὐτό.

Καὶ νῦν. Τοῦ Γαβριὴλ φθεγξαμένου. Καὶ Ἀπόλυσις.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν α΄. στιχολ. Κάθ. ἦχος, α΄.
Τὸν τάφον σου Σωτήρ.

Ἐνίσχυσε σαφῶς, ἐντελὴς ἐν σοὶ χάρις. ἐκήρυξας λαμπρῶς, τὸν ἐν σοὶ Θεὸν ὄντα. διὸ καὶ καθ' ὁμοίωσιν γεγενῆσθαί σε ἔγνωμεν, πρᾶον ἄκακον, καὶ κατὰ χάριν οἰκεῖον, τοῦ Θεοῦ ἡμῶν, Θεῖε ΣΠΥΡΙΔΩΝ παμμάκαρ, Ποιμένων πανάριστε. Δόξα.

ΣΠΥΡΙΔΩΝ ὁμιλεῖς, τῇ νεκρᾷ ὥσπερ ζώσῃ· καὶ ὄφιν εἰς χρυσοῦν, μεταβάλλεις καὶ πάλιν, Ἡλίου καταφλέξιν ἐν καιρῷ θέρους ἔλυσας, μεταθέμενος εἰς δροσισμὸν τὸ καυσῶδες, καταψύχον σου τὴν κεφαλὴν Ἱεράρχα. ὢ χάρις τοῦ Πνεύματος.

Καὶ

Καὶ νῦν. Θεοτοκίον.

ΜΑρία τὸ σεπτὸν, τοῦ Δεσπότου δοχεῖον, ἀνάστησον ἡμᾶς, πεπτωκότας εἰς χάος, δεινῆς ἀπογνώσεως, καὶ πταισμάτων καὶ θλίψεων· σὺ γὰρ πέφυκας, ἁμαρτωλῶν σωτηρία, καὶ βοήθεια καὶ κραταιὰ προστασία, καὶ σώζεις τοὺς δούλους σου.

Μετὰ τὴν β'. στιχολογίαν Καθίσματα, ἦχος, πλ. δ'.

Τὴν Σοφίαν καὶ Λόγον.

ΠΑσαν τέρψιν τοῦ βίου καταλιπὼν, καὶ τὸν νοῦν ἀνυψώσας ταῖς ἀρεταῖς, τὸ ἄκρον ἐζήτησας, ἐφετῶν παναοίδιμε· τοῦ δὲ Θείου Πνεύματος δοχεῖον γενόμενος, τὰς ἐλλάμψεις τούτου εἰσδέδεξαι Ὅσιε. ὅθεν καὶ τὴν χάριν, τῶν θαυμάτων πλουτήσας, παρέχεις τὴν ἴασιν, Ἱεράρχα ἑκάστοτε, τοῖς πιστῶς σοι προστρέχουσι· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου. Δόξα.

ΑΒραὰμ τὸ φιλόξενον εἰληφὼς, Ἰακώβ τε τὸ ἄκακον ἐσχηκὼς, καὶ Ἰὼβ τὸ ἄμεμπτον, Μωϋσέως τὸ ἄπλαστον, Δαβὶδ ὁμοῦ τὸ πρᾶον, ἀξίως τοῦ Πνεύματος, ἀνεδείχθης ΣΠΥΡΙΔΩΝ, δοχεῖον πανθαύμαστον. ὅθεν ὡς Ἠλίας, γῇ κατήγαγες ὄμβρους, ποταμῶν τε ῥεύματα, Ἐλισσαίου τῇ χάριτι, Ἱεράρχα διέστησας. πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον.

ΤΗν Σοφίαν καὶ Λόγον ἐν σῇ γαστρὶ, συλλαβοῦσα ἀφλέκτως Μήτηρ Θεοῦ, τῷ Κόσμῳ ἐκύησας, τὸν τὸν Κόσμον ποιήσαντα· καὶ ἐν ἀγκάλαις ἔσχες, τὸν πάντα συνέχοντα, τὸν τροφοδότην πάντων, καὶ Πλάστην τῆς κτίσεως. ὅθεν δυσωπῶ σε, Παναγία Παρθένε, καὶ πίστει δοξάζω σε, τοῦ ῥυσθῆναι πταισμάτων μου, ὅταν μέλλω παρίστασθαι, πρὸ προσώπου τοῦ Κτίστου μου, Δέσποινα Παρθένε

Ἁγνή,



Ἁγνή, τὴν σὴν βοήθειαν τότε μοι δώρησαι· καὶ γὰρ δύνασαι, ὅσα θέλεις Πανύμνητε.

Μετὰ τὸν Πολυέλεον, Καθίσματα, ἦχος, γ'.

Τὴν ὡραιότητα τῆς Παρθενίας σου.

ΟΦιν μετέβαλες, εἰς χρυσὸν Ἅγιε, καὶ ταῖς τῶν λόγων σου, νευραῖς ἀπέπνιξας, τὸν δυσσεβῆ καὶ πονηρὸν, Ἄρειον Θεοφόρε. Βασιλεῖ δὲ γέγονας, ἰατρὸς παναοίδιμε, καὶ νεκροὺς ἐξήγειρας, Δαίμονάς τε ἀπήλασας. διό σε συνελθόντες ὑμνοῦμεν, Ἱεράρχα τὴν Θείαν κοίμησιν.

Δόξα. Τὴν Σοφίαν καὶ Λόγον.

ΒΑσιλεῦσι καὶ μύσταις θεοπρεπῶς, ἐν συλλόγῳ πανσέπτῳ φιλοσόφων, τρανῶς διεσάφησας, ἐν τρισὶν ὑποστάσεσιν, ἕνα Θεὸν λατρεύειν, ὁμότιμον σύνθρονον, καὶ ἐν μιᾷ οὐσίᾳ, σεπτῶς ἐδογμάτισας. ὅθεν ὑπὲρ λόγον, κατ' ἐπίνοιαν Θείαν, καθεῖλες τὸν φλύαρον, τῇ δυνάμει τοῦ Πνεύματος, Ἱεράρχα Θεσπέσιε. πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου. Καὶ νῦν. Θεοτοκίον.

ΟΧορὸς Θεοτόκε τῶν Προφητῶν, σὲ προήγγειλε πάλαι σκιογραφῶς, παλάτιον ἔμψυχον καὶ πνευμόμορφον ὄχημα· καὶ κιβωτὸν καὶ στάμνον, Παρθένε χρυσόμορφον· καὶ φαεινὴν λυχνίαν, καὶ ὄρος κατάσκιον. πύλην κεκλεισμένην, καὶ λαβίδα καὶ τόμον, καὶ κλίνην πορφυρόχρυσον· χρυσοπόρφυρον θάλαμον, καὶ νεφέλην ὁλόφωτον. Δέσποινα ἡμεῖς δὲ ἀεὶ, χείλεσι καὶ καρδίᾳ πιστῶς ἀνυμνοῦμέν σε, ὡς Θεοτόκον πανάχραντον.

Οἱ Ἀναβαθμοί. τὸ α'. Ἀντίφωνον τοῦ δ'. ἤχου.

Προκείμενον. Τὸ στόμα μου λαλήσει σοφίαν.

Στίχ. Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη.

Τὸ, Πᾶσα πνοή. Εὐαγγέλιον, τὸ Ἰωάννου.

Ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας. Δόξα, Ταῖς τοῦ Ἱεράρχου πρεσβείαις. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου πρεσβείαις.

Καὶ τὸ, Ἰδιόμελον, ἦχος, πλ. β'.

Ἐλεήμον ἐλέησόν με ὁ Θεός.

ΠΑτέρων ἀγλάϊσμα, ΣΠΥΡΙΔΩΝ σοφὲ καὶ ἀκροθίνιον, τῇ τῶν θαυμάτων σου αἴγλῃ τῆς Οἰκουμένης φωτίζων τὰ πέρατα, καὶ τῆς Ἀρείου λύσσης καθαιρέτης φανείς, τὸν Σωτῆρα ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Σῶσον ὁ Θεὸς τὸν Λαόν σου. Καὶ τὰ ἑξῆς.

Οἱ Κανόνες τῆς Θεοτόκου μετὰ τῶν Εἱρμῶν εἰς ϛ'.

Καὶ τοῦ Ἁγίου οἱ δύο εἰς η'.

Ὁ Κανὼν τῆς Θεοτόκου. Οὗ ἡ ἀκροστιχίς.

Ἄδω τὸν αἶνον τῇ φερεσβίῳ Κόρῃ.

Πλὴν τῶν ἐσχάτων Τροπαρίων τοῦ αὐτοῦ Κανόνος.

Ὠδὴ, ά. ἦχος, β'. Ὁ Εἱρμός. Δίς.

„ ἌΤριπτον ἀσινῶς, ἀβρόχως θαλαττίαν αὔλακα „ τρίβων, ὁ παλαιὸς ἐβόα Ἰσραήλ· τῷ Κυρίῳ ᾄσω- „ μεν, ὅτι δεδόξασται.

Στίχ. Ἄσωμεν τῷ Κυρίῳ· ἐνδόξως γὰρ δεδόξασται.

ἌΫλος πάλαι κλίμαξ, καὶ ξένος χερσωθεῖσα ὁδὸς θαλάσσης, τὴν σὴν ἐδήλου γέννησιν Ἁγνή. ἣν ὑμνοῦμεν ἅπαντες, ὅτι δεδόξασται.

Στίχ. Βοηθὸς καὶ σκεπαστὴς ἐγένετό μοι.

ΔΎναμις τοῦ ὑψίστου, ὑπόστασις τελεία Θεοῦ σοφία, σωματωθεῖσα Ἄχραντε ἐκ σοῦ, τοῖς βροτοῖς ὡμίλησεν, ὅτι δεδόξασται.

Στίχ. Κύριος συντρίβων πολέμους.

ὨΔᾶσε διὰ πύλης, ἀβάτου κεκλεισμένης τῆς σῆς νηδύος, δικαιοσύνης Ἥλιος Ἁγνή· καὶ τῷ Κόσμῳ ἔλαμψεν, ὅτι δεδόξασται.

Στίχ. Πόντῳ ἐκάλυψεν αὐτούς.

ΤΆγματα τῶν Ἀγγέλων, τῷ τόκῳ σου Παρθένε τῷ ὑπὲρ φύσιν, ὑπηρετοῦσι χαίροντα Σεμνή· τὸν γὰρ τούτων τέτοκας Κτίστην καὶ Κύριον.

Ὁ Κα-



Ὁ Κανὼν τοῦ Ἁγίου, ἦχος, ὁ αὐτός. Εἱρμὸς ἄλλος.

Ἐν βυθῷ κατέστρωσε ποτέ.

Στίχ. Τότε ἔσπευσαν ἡγεμόνες Ἐδώμ.

ΤΗν πραέων γῆν καταλαβὼν, Πάτερ ὡς πρᾳότατος, καὶ συμπαθεὶς καὶ καθαρὸς γενόμενος, τὸν ἐπανιστάμενον τῇ καρδίᾳ μου καταπράϋνον κλύδωνα, ὅπως ἐν γαλήνῃ, θεία γεγονὼς ὑμνολογήσω σε.

Στίχ. Ἐπιπέσοι ἐπ' αὐτοὺς φόβος καὶ τρόμος.

ΓΕωργίαις θείαις τὴν ψυχὴν, Πάτερ καθηράμενος, θεοειδὴς ΣΠΥΡΙΔΩΝ ἐχρημάτισας, καὶ τοῦ Θείου Πνεύματος, τὴν ὑπέρλαμπρον κατεπλούτησας ἔλλαμψιν. ὅθεν καταυγάζεις, τοὺς εἰλικρινῶς σε μακαρίζοντας.

Στίχ. Ἕως ἂν παρέλθῃ ὁ λαός σου Κύριε.

ἘΚ ποιμνίων ὥσπερ τὸν Δαβὶδ, σὲ ἀναλαβόμενος, ὁ πλαστουργὸς λογικῆς ποίμνης ἔθετο, ποιμένα πανάριστον, τῇ ἁπλότητι καὶ πρᾳότητι λάμποντα, καὶ τῇ ἀκακίᾳ, Ὅσιε ποιμένων καλλωπιζόμενον.

Θεοτοκίον.

Στίχ. Ὃ κατειργάσω Κύριε ἁγίασμα.

ΠΑναγία ἄχραντε Ἁγνὴ, δέομαί σου φώτισον, τὸν λογισμὸν καὶ τὴν ψυχήν μου πάναγνε, τὰ νέφη σκεδάζουσα τῆς ἀγνοίας μου, καὶ τοῦ σκότους ἐξαίρουσα, τοῦ τῆς ἁμαρτίας, ὅπως κατὰ χρέος μακαρίζω σε.

Ἕτερος Κανὼν τοῦ Ἁγίου, ἦχος, ά. Χριστὸς γεννᾶται.

Στίχ. Κύριος βασιλεύων τῶν αἰώνων.

ΧΡιστὸς ποιμένα σε Ὅσιε, γαστρὸς ἐκ μητρικῆς ἐξελέξατο, πρᾶον ἱερὸν καὶ σώφρονα, Κήρυκά τε δογμάτων, καὶ λειτουργὸν, Πάτερ Ἐκκλησίας, καὶ δοχεῖον χαρισμάτων τῶν τοῦ Πνς.

Στίχ. Οἱ δὲ Υἱοὶ Ἰσραὴλ ἐπορεύθησαν.

ΣΑρκὸς νεκρώσας τὸ φρόνημα, ψυχῆς δὲ προκαθάρας τὰ ὄμματα, ὅλον σεαυτὸν τοῦ Πνεύματος, Ὅσιε ἀπειργάσω θεῖον Ναὸν, λογικαῖς θυσίαις, καθαρῶς ἱερατεύων παμμακάριστε.

 Δό-

Δόξα.

ΔΙψῶσαν Κύπρου τὴν γῆν κατιδὼν, τὸν Θεσβίτην Ἠλίαν μιμούμενος, σοῦ τῇ προσευχῇ κατήγαγες, Ὅσιε οὐρανόθεν ὄμβρων πληθὺν, καὶ γὰρ εἰσακούει, τῆς δεήσεως Χριστὸς τῶν θεραπόντων αὐτοῦ. Καὶ νῦν, Θεοτοκίον.

ΧΡυσῆν σε σάμνον καὶ τράπεζαν, λυχνίαν φωτεινὴν καὶ κατάσκιον, ὄρος καὶ πηγὴν θεόβρυτον, κλίμακά τε καὶ πύλην θείας ζωῆς, κεχαριτωμένη, Θεοτόκε ὑπερένδοξε κηρύττομεν. Καταβασία.

„ ΧΡιστὸς γεννᾶται δοξάσατε, Χριστὸς ἐξ Οὐρανῶν ἀπαντήσατε, Χριστὸς ἐπὶ γῆς ὑψώθητε. ᾄσατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ, καὶ ἐν εὐφροσύνῃ, ἀνυμνήσατε λαοὶ, ὅτι δεδόξασται.

Ὠδὴ, γ΄. Ὁ Εἱρμός. Δίς.

„ ΤΟξον συνετρίβη Δυναστῶν, τῷ κράτει σου Χριστὲ, καὶ δύναμιν ἀσθενεῖς, σὲ περιεζώσαντο.

Στίχ. Ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ.

ΤΟν φύσει ἀχώρητον παντὶ, ἐχώρησας Θεὸν, καὶ τέτοκας ὑπὲρ νοῦν, Κόρη τὸν ὑπέρχρονον.

Στίχ. Ὅτι οὐκ ἔστιν Ἅγιος ὡς ὁ Κύριος.

Ὁ Χρόνου ἐπέκεινα παντὸς, ὡς χρόνων Ποιητὴς, ἐκ σοῦ Παρθένε ἑκὼν, βρέφος πεπλαστούργηται.

Στίχ. Μὴ καυχᾶσθε καὶ μὴ λαλεῖτε ὑψηλά.

ΝΗδὺν πλατυτέραν Οὐρανῶν, ὑμνήσωμεν πιστοὶ, δι' ἧς Ἀδὰμ ἐν τοῖς Οὐρανοῖς, χαίρων πεπολίτευται.

Στίχ. Ὅτι Θεὸς γνώσεων Κύριος, καὶ Θεός.

ΑΡχὴν ὑπὸ χρόνων εἰληφὼς, πιστεύεται ἐκ σοῦ, ὁ χρόνων δημιουργὸς, Μήτηρ Ἀειπάρθενε.

Ἄλλος. Τῆς πίστεως ἐν πέτρᾳ με στερεώσας.

Στίχ. Διδοὺς εὐχὴν τῷ εὐχομένῳ, καὶ εὐλόγησεν.

ΤΟν νοῦν σου ἀπαθείᾳ καταλαμπρύνας, καὶ θείᾳ ταπεινώσει καθωραΐσας, χαρίσματα τοῦ Πνεύματος ὑπε-





δέξω, διώκειν πνεύματα, λύειν νοσήματα, τῶν πιστῶς τιμώντων σε Γερώτατε.

Στίχ. Κύριος ἀσθενῆ ποιήσει τὸν ἀντίδικον αὐτοῦ.

ΤΟν ὄφιν τὸν ἀρχέκακον ἀποκτείνας, τὸν τρόπον τὸν φιλάργυρον συμπατήσας, οἰκτείρων τὸν δεόμενον Γεράρχα, ὄφιν μετέβαλες, χρυσοῦν εἰς κόσμιον, ἱεραῖς ἐντεύξεσι Πάτερ Ὅσιε.

Στίχ. Μὴ καυχάσθω ὁ σοφὸς ἐν τῇ σοφίᾳ αὐτοῦ.

ἈΝῆλθες πρὸς τὸ ὄρος τῆς ἀπαθείας, εἰσέδυς εἰς τὸν γνόφον τῆς θεωρίας· πλαξὶ δὲ τῆς καρδίας σου εἰσεδέξω, Νόμον σωτήριον, ὡς ἱερώτατος, καὶ θεράπων γνήσιος τοῦ Δεσπότου σου.

Στίχ. Ἀλλ' ἢ ἐν τούτῳ καυχάσθω ὁ καυχώμενος.

ΘΕράπευσον τὰ τραύματα τῆς ψυχῆς μου· τὸν νοῦν μου σκοτιζόμενον ἀμελείᾳ, Θεόνυμφε καταύγασον ἵνα ψάλλω· οὐκ ἔστιν ἄμεμπτος ὡς σὺ Πανάμωμε, καὶ οὐκ ἔστιν ἄχραντος πλὴν σοῦ Δέσποινα.

Ἄλλος. Τῷ πρὸ τῶν αἰώνων.

Στίχ. Κύριος ἀνέβη εἰς Οὐρανοὺς καὶ ἐβρόντησεν.

ΤΩ ἐκ τοῦ ποιμνίου, τῶν προβάτων τὸν μέγαν ΣΠΥΡΙΔΩΝΑ, ἀναλαβόντι τοῦ ποιμαίνειν, τὴν αὐτοῦ Ἐκκλησίαν, Χριστῷ τῷ Θεῷ βοήσωμεν. ὁ ἀνυψώσας τὸ κέρας ἡμῶν, Ἅγιος εἶ Κύριε.

Στίχ. Καὶ δώσει ἰσχὺν τοῖς Βασιλεῦσιν ἡμῶν.

Ὁ Ἐπερωτήσας, τὴν νεκρὰν ὥσπερ ζῶσαν ΣΠΥΡΙΔΩΝ σοφὲ, καὶ ἀποδοὺς τὴν παραθήκην, γυναικὶ τῇ αἰτούσῃ, ταῖς σαῖς ἱεραῖς δεήσεσι, καταπεμφθῆναι τὸ μέγα ἡμῖν, ἔλεος ἱκέτευε. Δόξα.

ΤΗν πανευκλεῆ σου, καὶ πανίερον μνήμην Μακάριε, θεοπρεπῶς πάντες ὑμνοῦμεν, μελῳδοῦντες συμφώνως, Χριστῷ τῷ Θεῷ καὶ λέγοντες. ὁ ἀνυψώσας τὸ κέρας ἡμῶν, Ἅγιος εἶ Κύριε.

Καὶ νῦν, Θεοτοκίον.

Τῷ ἐκ τῆς Παρθένου, σαρκωθέντι ἀπόρως βουλήσει Υἱῷ, καὶ τὴν τεκοῦσαν μετὰ τόκον θεϊκῇ δυναστείᾳ, Ἁγνὴν Παρθένον φυλάξαντι· τῷ ἐπὶ πάντων βοῶμεν Θεῷ, Ἅγιος εἶ Κύριε.

Καταβασία.

„ Τῷ πρὸ τῶν αἰώνων, ἐκ Πατρὸς γεννηθέντι ἀῤῥεύστως Υἱῷ, καὶ ἐπ' ἐσχάτων ἐκ Παρθένου, σαρκωθέντι ἀπόρως, Χριστῷ τῷ Θεῷ βοήσωμεν. ὁ ἀνυψώσας τὸ κέρας ἡμῶν, Ἅγιος εἶ Κύριε.

Καθ. ἦχος, πλ. δ'. Τὴν σοφίαν καὶ Λόγον.

Ἐκ ποιμνίων προβάτων τὴν τοῦ Χριστοῦ, Ἐκκλησίαν ποιμαίνειν προχειρισθεὶς, Ποιμὴν θεοπρόβλητος, ὦ ΣΠΥΡΙΔΩΝ ἀνέλαμψας· κακοδοξίας λύκους, ἐλάσας τοῖς λόγοις σου, ἐν εὐσεβείας πόᾳ, πιστοὺς ἐκτρεφόμενος. ὅθεν ἀναμέσον, Θεοφόρων Πατέρων, τὴν Πίστιν ἐκράτυνας τῇ σοφίᾳ τοῦ Πνεύματος, Ἱεράρχα μακάριε. πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου. Δόξα.

Ὡς καὶ ζῶν καὶ θανὼν περ τερατουργῶν, καταπλήττων οὐ παύῃ τὸν σὸν λαὸν, πηγὴ θαυματόβρυτος, ἀνεδείχθης μακάριε. αὐχμοὺς καὶ γὰρ λιμώδεις, λοιμούς τε διέλυσας, καὶ τὸν ξηρὸν χαλκέα πιστῶς σοι προσρέξαντα. τρεῖς τε τυφλοὺς πάμπαν, ἐλυτρώσω τοῦ πάθους· πεσόντας ἐκ πύργου τε, ὑψορρόφου ἀκρότητος, κεραυνοῦ βίᾳ ἔσωσας. ἅπαντας ἐκπλήττει Σοφὲ, τῶν θαυμάτων τὸ ἄπειρον πέλαγος. διὰ τοῦτό σου πόθῳ τὴν μνήμην γεραίρομεν.

Καὶ νῦν. Θεοτοκίον.

Ὡς πανάμωμος Νύμφη τοῦ Ποιητοῦ, ὡς ἀπείρανδρος Μήτηρ τοῦ λυτρωτοῦ, δοχεῖον ὡς ὑπάρχουσα τοῦ Ὑψίστου πανύμνητε, ἀνομιῶν με ὄντα αἰσχρὸν καταγώγιον, καὶ ἐν γνώσει γενόμενον τοῖς Δαίμοσι παίγνιον· ἀπεῦσον καὶ τῆς τούτων, κακουργίας με ῥῦσαι, λαμπρὸν οἰκητήριον, δι' ἀρετῆς





ἀπαρτίσασα, φωτοδόχε ἀκήρατε· δίωξον τὸ νέφος τῶν παθῶν, καὶ τῆς ἄνω λαμπρότητος ἀξίωσον, καὶ φωτὸς ἀνεσπέρου πρεσβείαις σου.

Ὠδὴ, δ'. Ὁ Εἱρμός. Δίς.

„ Ἀκήκοα Κύριε, τὴν ἔνδοξόν σου οἰκονομίαν· καὶ ἐδόξασα φιλάνθρωπε, τὴν ἀκατάληπτόν σου δύναμιν.

Στίχ. Κύριε εἰσακήκοα τὴν ἀκοήν σου.

Ἀγγέλων εὐπρέπεια, καὶ τῶν ἀνθρώπων σθένος καὶ δόξα, Παναγία μόνη πέφυκας, τὸν Ποιητὴν τεκοῦσα καὶ Θεὸν ἡμῶν.

Στίχ. Ἐν τῷ ταραχθῆναι τὴν ψυχήν μου.

Ἰδοὺ ὑπερύψωται, τὸ θεῖον ὄρος οἴκου Κυρίου, ὑπὲρ ἄνω τῶν δυνάμεων, ἡ Θεομήτωρ ἐμφανέστατα.

Στίχ. Ὁ Θεὸς ἀπὸ Θαιμὰν ἥξει.

Νόμιμον τῆς φύσεως, Παρθένε ἄτερ μόνη τεκοῦσα, τὸν δεσπόζοντα τῆς κτίσεως, κατηξιώθης θείας κλήσεως.

Στίχ. Ἐκάλυψεν Οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ.

Νοήσας σε πόῤῥωθεν, Θεὸν Παρθένε σεσαρκωμένον, ἐν ἀγκάλαις σου βαστάσασαν, ὁ Ἡσαΐας προκατήγγειλε.

Ἄλλος. Ἐλήλυθας ἐκ Παρθένου.

Στίχος. Διότι συκῆ οὐ καρποφορήσει.

Τοῖς ἄνθραξι, τοῦ σεπτοῦ ἀναπτόμενος Πνεύματος, παθῶν εὐκατάπρησον, ὕλην παμμάκαρ ἐνέπρησας. κόσμον δὲ πυρσεύμασι, τῶν ἀρετῶν σου ΣΠΥΡΙΔΩΝ κατελάμπρυνας. Στίχ. Ψεύσεται ἔργον ἐλαίας.

Νεκρώσας σου, τῆς σαρκὸς τὰς κινήσεις Θεόπνευστε, νεκροὺς ἐξανέστησας ζωοποιῷ σου προσρήματι· ὅθεν ἱκετεύω σε, τὴν νεκρωθεῖσαν ψυχήν μου Πάτερ ζώωσον.

Στίχ. Ἐξέλιπον ἀπὸ βρώσεως πρόβατα.

Πυθομένῳ, ἡ νεκρά σοι φωνὴν Πάτερ δέδωκε. ποτάμια ῥεύματα σαῖς ἐπεσχέθη προστάξεσιν. ὤφθης γὰρ μακάριε, τερατουργὸς θείαν χάριν κομισάμενος.

Στίχ. Ἐγὼ δὲ ἐν τῷ Κυρίῳ ἀγαλλιάσομαι. Θεοτοκίον.

ΠΡοφῆταί σου, μυηθέντες τὸ βάθος προήγγειλαν, τὸ ἀκατανόητον· μόνη γὰρ ἔτεκες ἄχραντε, τὸν ἀπερινόητον, σεσαρκωμένον δι' οἶκτον ἀδιήγητον.

Ἄλλος. Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί.

Στίχος. Κύριος ὁ Θεός μου δύναμίς μου.

ΡΆβδον σε κατέχοντα χειρὶ, καὶ σχῆμα ἱερώτατον, ἐσολισμένος θεῖος Ἄγγελος, κατ' ὄναρ ἐπιφανεὶς, Βασιλεῖ δεικνύει σε, ἰατρὸν αὐτοῦ θεῖον τοῦ πάθους. ὁ δὲ ἐβόα πιστῶς, δόξα τῇ δυνάμει σου Κύριε.

Στίχ. Καὶ ἐπὶ τὰ ὑψηλὰ ἐπιβιβᾷ με.

ΔΕσπότην μιμούμενος τὸν σὸν, καὶ πάντων ἰατρὸν Χριστὸν, τὸν Βασιλέα ἐθεράπευσας, ΣΠΥΡΙΔΩΝ θεουργέ. θεϊκοῖς τε δόγμασι, τοῦτον εὐσεβῶς εἰς θεῖον ζῆλον, καὶ πίστιν θεοπρεπῆ, μάκαρ εὐθυβόλως διήγειρας. Δόξα.

ΡΉσεις ἐντολῶν τῶν Θεϊκῶν, φυλάττων παμμακάριστε, τοῦ Βασιλέως διεσκόρπισας, μεγάλας σου δωρεὰς, καὶ τοῖς πᾶσι δέδωκας, χρυσὸν ἐπὶ γῆς ΣΠΥΡΙΔΩΝ μάκαρ. ἐκτίσω γὰρ οὐδαμῶς, ὄλβον θησαυρίζων τὸν ἄσυλον.

Καὶ νῦν. Θεοτοκίον.

ΣΥ σκηνὴ τοῦ Λόγου καὶ λαμπὰς, Παρθένε ἀληθῶς φωτὸς, τοῦ ἀνεσπέρου ἀναδέδειξαι. διό σε πάντες πιστοὶ, θερμῶς ἱκετεύομεν· ῥῆξαι τοῦ ἐχθροῦ σοῦ τὰς ἐνέδρας, ἃς καθ' ἡμῶν μελετᾷ, Κόρη τὸν Υἱόν σου δυσώπησον. Καταβασία.

„ ΡΆβδος ἐκ τῆς ῥίζης Ἰεσσαὶ, καὶ ἄνθος ἐξ αὐτῆς Χριστὲ,
„ ἐκ τῆς Παρθένου ἀνεβλάστησας· ἐξ ὄρους ὁ αἰνετὸς,
„ κατασκίου δασέως. ἦλθε σαρκωθεὶς ἐξ ἀπειράνδρου, ὁ ἄϋλος
„ καὶ Θεός· δόξα τῇ δυνάμει σου Κύριε.

Ὠδὴ, έ. Ὁ Εἱρμός. Δίς.

„ ὉΑνθραξ τῷ Ἠσαΐᾳ προοφθεὶς Ἥλιος, Παρθενι-
„ κῆς ἀπὸ γαστρὸς ἀνέτειλε, τοῖς ἐν σκότει πεπλανη-
„ μένοις, Θεογνωσίας φωτισμὸν δωρούμενος.

Στίχ.



Στίχ. Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμά μου.

ὉΠάντων βασιλευόντων Βασιλεὺς Κύριος, σὲ τὴν ἁγνεὺν πάντων πιστῶν Βασίλισσαν, ὡς Μητέρα ὑπερυψώσας, καὶ τῶν Ἀγγέλων ὑπερτέραν ἔδειξε.

Στίχ. Δικαιοσύνην μάθετε οἱ ἐνοικοῦντες ἐπὶ τῆς γῆς.

ΝΕφέλαι τῆς εὐφροσύνης γλυκασμὸν ῥάνατε, τοῖς ἐπὶ γῆς ὅτι παιδίον δέδοται· ὁ ὑπάρχων πρὸ τῶν αἰώνων, ἐκ τῆς Παρθένου σαρκωθεὶς Θεὸς ἡμῶν.

Στίχ. Ἀρθήτω ὁ ἀσεβὴς, ἵνα μὴ ἴδῃ.

ΤΩ βίῳ καὶ τῷ σαρκίῳ μου τὸ φῶς ἔλαμψε, καὶ τὸ στυγνὸν τῆς ἁμαρτίας ἔλυσεν, ἐπ' ἐσχάτων ἐκ τῆς Παρθένου, ἀλλ' ἀσπορᾶς σωματωθεὶς ὁ ὕψιστος.

Στίχ. Ζῆλος λήψεται λαὸν ἀπαίδευτον.

ΧΑραὶ σοι τὸ Προπατόρων σκυθρωπὸν λύουσαν, ὁ Γαβριὴλ ὁ Ἱερὸς Ἀρχάγγελος, οὐρανόθεν καταφοιτήσας, εὐαγγελίζεται σεμνὴ Θεόνυμφε.

Ἄλλος. Ὁ φωτισμὸς, τῶν ἐν σκότει.

Στίχ. Πρόσθες αὐτοῖς κακὰ Κύριε.

ὉΠοταμὸς, τῶν ἐν σοὶ χαρισμάτων πᾶσαν ἀρδεύει, Ὅσιε καρδίαν πᾶσι δωρεῖται, ῥῶσιν πλουσίαν πάντας δ' ἐγείρει, πρὸς Θεοῦ δόξαν τοῦ σὲ δοξάσαντος, καὶ θαυματουργίαις παντοίαις πλουτίσαντος.

Στίχ. Κύριε ἐν θλίψει ἐμνήσθημέν σου.

ΣΕ Βασιλεὺς, ὁ ἐπίγειος μάκαρ τοῦ Βασιλέως, τοῦ ἐπουρανίου σαφῶς ἐπέγνω, γνήσιον δοῦλον, καὶ χαρίσματος θείου, πεπλησμένον ἐν τῷ παρεῖναί σε, μέγαν Ἰατρὸν πρὸς Θεοῦ μηνυόμενον.

Στίχ. Καὶ ὡς ἡ ὠδίνουσα ἐγγίζει τοῦ τεκεῖν.

ΤΟῦ Ἀβραὰμ, τὸν φιλόξενον τρόπον σὺ ἐμιμήσω, πᾶσι, τῆς οἰκίας σου τὰς εἰσόδους, ἀναπετάσας καὶ τοῖς πᾶσι τὰ πάντα, χρηματίσας καὶ προμηθούμενος, τῶν ἐν περιστάσει ΣΠΥΡΙΔΩΝ μακάριε.

Στίχ.

Στίχ. Οὐ πεσούμεθα, ἀλλὰ πεσοῦνται.

ΝΕὸν ἡμῖν, ἀπεγέννησας Βρέφος τὸν πρὸ αἰώνων, Κόρη γεννηθέντα Πατρὸς ἀνάρχου. ὃν ἐκδυσώπει ὡς Υἱὸν καὶ Θεόν σου, οἰκτειρῆσαι τοὺς Θεοτόκον σε, πάναγνε ψυχῇ καθαρᾷ καταγγέλλοντας.

Στίχ. Ἀναστήσονται οἱ νεκροί, καὶ ἐγερθήσονται.

Ἄλλος. Θεὸς ὢν εἰρήνης Πατήρ.

ΤΗν πίστιν ἐν μέσῳ Πατέρων πολλῶν, Ἱεράρχα ΣΠΥΡΙΔΩΝ ἐστήριξας, κηρύξας τὸ ὁμόθεον Τριάδος τῆς μιᾶς. διὸ καὶ ἐπαξίως, τιμᾷ ἡ Ἐκκλησία, τὴν πανίερον μνήμην, τῆς παναγίας σου κοιμήσεως.

Στίχ. Ἡ γὰρ δρόσος ἡ παρὰ σοῦ ἴαμα αὐτοῖς ἐστί.

ΧΡιστοῦ ὢν καθάπαξ πιστὸς μαθητής, Ἱεράρχα ΣΠΥΡΙΔΩΝ ἀνέστησας, νεκροὺς τῇ προσευχῇ σου, καὶ παρέστησας ζῶντας. καὶ γὰρ ἰσχύειν πάντα, αὐτὸς δεδώρηταί σοι, ὁ ἐξ ἰδίας ἰσχύος, ὁ ταμιοῦχος τῆς ζωῆς ἡμῶν. Δόξα.

ἘΛπίδος ἀγάπης καὶ πίστεως σύ, ἰδιώματα Πάτερ κτησάμενος, πενήτων ἀντιλήπτωρ τε, νοσούντων ἰατρός, καὶ πάντων τῶν ἐν ζάλῃ, λιμὴν γαληνοφόρος, ἀνεδείχθης Θεόφρον, ἀξιοθαύμαστε πιστότατος. Καὶ νῦν. Θεοτοκίον.

ἉΓίων Ἁγία Παρθένε ἁγνή, τῶν Ἁγίων τὸν Ἅγιον τέτοκας, τὸν πάντας ἁγιάζοντα Χριστὸν τὸν λυτρωτήν· διό σε Βασιλίδα, καὶ Δέσποιναν ἁπάντων, ὡς Μητέρα τοῦ Κτίστου, τῶν ποιημάτων καταγγέλλομεν. Καταβασία.

» ΘΕὸς ὢν εἰρήνης Πατὴρ οἰκτιρμῶν, τῆς μεγάλης βουλῆς
» σου τὸν Ἄγγελον, εἰρήνην παρεχόμενον ἀπέστειλας
» ἡμῖν· ὅθεν θεογνωσίας, πρὸς φῶς ὁδηγηθέντες, ἐκ νυκτὸς
» ὀρθρίζοντες, δοξολογοῦμέν σε φιλάνθρωπε.

Ὠδὴ ϛ'. Ὁ Εἱρμός. Δίς.

» ἫΧου ῥημάτων δεήσεως, ἐκ κατωδύνου Δέσποτα ψυχῆς,
» ἐπακούσας τῶν δεινῶν με λύτρωσαι. μόνος γὰρ εἶ τῆς
» ἡμῶν σωτηρίας πρόξενος.





Στίχ. Ἐβόησα ἐν θλίψει μου πρὸς Κύριον τὸν Θεόν μου.

ἭΛιον πᾶσιν ἐκύησας, δικαιοσύνης Δέσποινα Χριστόν, τὸν ἡμᾶς ἐκ σκότους λυτρωσάμενον. ὅθεν σε νῦν ἀληθῆ Θεοτόκον σέβομεν. Στίχ. Ἀπέρριψάς με.

ΦΥσις ἀνθρώπων δουλεύουσα, τῇ ἁμαρτίᾳ Δέσποινα Ἁγνή. διὰ σοῦ ἐλευθερίας ἔτυχε. σὸς γὰρ Υἱὸς ὡς ἀμνὸς ὑπὲρ πάντων τέθυται.

Στίχ. Πάντες οἱ μετεωρισμοί σου, καὶ τὰ κύματά σου.

ἘΠιβοώμεθα πάντες σέ, τὴν ἀληθῆ Μητέρα τοῦ Θεοῦ, παροργίσαντας οἰκέτας λύτρωσαι. μόνη γὰρ πρὸς τὸν Υἱόν, παῤῥησίαν κέκτησαι.

Στίχ. Ἄρα προσθήσω τοῦ ἐπιβλέψαι με πρὸς ναόν.

ὮΜοσεν ὥσπερ ὁ Κύριος, ἐν ἀληθείᾳ πάλαι τῷ Δαβίδ, ἐκ γαστρός σου προελθὼν πεπλήρωκε. τέτοκας γὰρ τὸν τῆς γῆς Κόρη βασιλεύοντα.

Ἄλλος. Ἐν ἀβύσσῳ πταισμάτων.

Στίχ. Περιεχύθη μοι ὕδωρ ἕως ψυχῆς μου.

ὩΣ πηλὸς ὁ χρυσός σοι λελόγισται, τῇ ὑπὲρ χρυσὸν ἀπαθείᾳ ἀστράπτοντι, καὶ πλουτισθέντι Ὅσιε, δωρεαῖς ταῖς παγχρύσοις τοῦ Πνεύματος.

Στίχ. Ἔδυ ἡ κεφαλή μου εἰς σχισμὰς ὀρέων.

ΚΑθαρῶς λειτουργῶν τῷ Δεσπότῃ σου, πλῆθος εἶχες Ὅσιε καθυπακοῦόν σοι, Ἀγγελικῶν δυνάμεων, ἀοράτοις φωναῖς ἱερώτατε.

Στίχ. Καὶ ἀναβήτω ἐκ φθορᾶς ἡ ζωή μου.

ὉΠερίδοξος πάνσοφε βίος σου, κόσμῳ σε περίδοξον Πάτερ εἰργάσατο. διὸ τὴν θείαν μνήμην σου, γεγηθότες τελοῦμεν ὑμνοῦντές σε.

Στίχ. Ἐν τῷ ἐκλείπειν ἐξ ἐμοῦ τὴν ψυχήν μου.

ὈΥρανῶν πλατυτέρα ἡ μήτρα σου, γέγονε Πανάμωμε Θεὸν χωρήσασα, τὸν μηδαμοῦ χωρούμενον, Παναγία Παρθένε Θεόνυμφε.

Ἄλλος. Σπλάγχνων Ἰωνᾶ.

Στίχ. Φυλασσόμενοι μάταια καὶ ψευδῆ.

ἌΛλον Σαμουὴλ, ἡ χάρις σε ἔχρισε, ΣΠΥΡΙΔΩΝ σοφὲ ἱερατεύειν Θεῷ, καὶ προσήγαγες, ἀναιμάκτους θυσίας πανόλβιε· πιστεύων ἀληθῶς ὅτι ἐδείχθη σοι, ἄνω ἐν σκηναῖς Θεοῦ ἡμῶν, ἡ φρικτὴ λειτουργία καὶ ἄμωμος.

Στίχ. Ὅσα ηὐξάμην ἀποδώσω σοι.

ῬΑ΄βδον Μωϋσῆς, εἰς ὄφιν μετέβαλε, προστάξει Θεοῦ πάλαι κινούμενος· σὺ δὲ Ὅσιε, εἰς χρυσὸν προσευχῇ σου μετέβαλες, τὸν Ὄφιν Ἱεράρχα διὰ φίλον τὸν σόν. οὕτως θαυμαστὰ εἰργάσατο, διὰ σοῦ ὁ Θεὸς Πάτερ τέρατα. Δόξα.

ὩΣ Ἱεραρχῶν, κανὼν καὶ ἑδραίωμα, Φωστὴρ Οἰκουμένης διαυγέστατε· πύργε ἄσειστε, Ἐκκλησίας θεμέλιε ἄρρηκτε· τῶν θαυμάτων ποταμὸς ὁ ἀνεξάντλητος. ῥῦσαι ταῖς πρεσβείαις πάντοτε, πειρασμῶν τοὺς τιμῶντας τὴν μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον.

ΚΟ΄λπων οὐκ ἐκστὰς, ἀνάρχου Γεννήτορος, ἐν κόλποις ἁγνῆς Κόρης αὐλίζεται· καὶ καθίσταται, ὁ ἀμήτωρ ἀπάτωρ σαρκούμενος, ὁ τῆς δικαιοσύνης βασιλεύων Χριστός· τούτου ἀγενεαλόγητος, ἡ φρικτὴ γενεὰ καὶ ἀπόρρητος.

Καταβασία.

„ ΣΠλάγχνων Ἰωνᾶ, ἔμβρυον ἀπήμεσεν, ἐνάλιος θὴρ
„ οἷον ἐδέξατο· τῇ Παρθένῳ δὲ, ἐνοικήσας ὁ Λόγος καὶ
„ σάρκα λαβὼν, διελήλυθε φυλάξας ἀδιάφθορον. ἧς γὰρ οὐχ
„ ὑπέστη ῥεύσεως, τὴν τεκοῦσαν κατέσχεν ἀπήμαντον.

Κοντάκιον, ἦχος, β΄. Τὰ ἄνω ζητῶν.

ΤΩ͂ πόθῳ τρωθεὶς Χριστοῦ ἱερώτατε, τὸν νοῦν πτερωθεὶς τῇ αἴγλῃ τοῦ Πνεύματος, πρακτικῇ θεωρίᾳ τὴν πρᾶξιν εὗρες Θεόπνευστε, θυσιαστήριον θεῖον γενόμενος, αἰτούμενος πᾶσι θείαν ἔλλαμψιν. Ὁ Οἶκος.

ΤὈν ἐκ κοιλίας ἡγιασμένον Ἱεράρχην Κυρίου ἀνευφημήσωμεν νῦν Σπυρίδωνα· τὸν τῆς χάριτος πλάκας δεξάμενον

μενον



μενον θείας δόξης, καὶ ἐν θαύμασι περιβόητον πᾶσι, καὶ ὡς θερμὸν καὶ αὐτόπτην τῆς θείας ἐλλάμψεως, ὡς τῶν πενήτων προστάτην, καὶ τῶν ἁμαρτανόντων ψυχαγωγόν. οὗτος γὰρ θύων τῷ βήματι τοῦ Χριστοῦ, Ἱεράρχης πιστὸς ἀναδέδεικται. Αἰτούμενος πᾶσι θείαν ἔλλαμψιν.

Ἕτερον Κοντάκιον. Ἡ Παρθένος σήμερον.

Ἡ Κερκύρα σήμερον λαμπρὰ λαμπρῶς ἑορτάζει· σὺν αὐτῇ δὲ ἅπασα ἡ Οἰκουμένη θαυμάζει. Λάρνακα θαυματοφόρον ἐγκωμιάζει· ταύτῃ δὲ φυλαττομένη φαιδρῶς κραυγάζει· Χαίροις φύλαξ ὁ τῆς Νήσου, ΣΠΥΡΙΔΩΝ, ταύτης ὁμοῦ, καὶ πρόμαχος. Ὁ Οἶκος.

ΤὈ τοῦ νοός μου νεκρὸν, καὶ ἀκίνητον ζώωσον Πάτερ, ὁ τὴν νεκρὰν ὡς ζῶσαν ἐπανερόμενος· καὶ τὴν ὑπὸ τοῦ ὄφεως σπαρεῖσαν ἐν ἐμοὶ ἁμαρτίαν μετάβαλε εἰς ἀρετῶν κεχρυσωμένην φαιδρότητα, διαλύων μου τὴν πενητεύουσαν ἀπορίαν, ὡς καὶ τὴν τοῦ πένητος μάκαρ πτωχείαν διέλυσας, ἐν τῇ τοῦ ὄφεως εἰς χρυσὸν ἀθρόᾳ μεταβολῇ. Εἰρήνην δέ μοι παράσχου ὁ αὐτήκοος γεγονὼς Ἀγγέλων συλλειτουργούντων σοι, ἐν τῷ ΤΗΝ ΕΙΡΗΝΗΝ τῷ λαῷ προσφωνεῖν, ΚΑΙ ΤΩ͂ ΠΝΕΥΜΑΤΙ ΣΟΥ ἀντιφωνούντων. Δρόσισον δέ μου τὸ ὑπὸ τῶν παθῶν καυσῶδες τῆς κεφαλῆς, ὁ τὴν Οὐράνιον δρόσον ἐπὶ τῆς σῆς Κορυφῆς ἐν ὥρᾳ θέρους δεξάμενος, προσημαίνουσαν τὴν ἐκ Θεοῦ μέλλουσάν σοι χάριν· δι' ἧς γέγονας ἐν Θαύμασι περιβόητος, ἐν Ἀρχιερεῦσιν ἀμώμητος, τῆς Ἐκκλησίας πύργος ἀκλόνητος, τῆς πρώτης Συνόδου ὑπέρμαχος, καὶ Κερκυραίων προασπιστὴς πολυθρύλλητος. Ὅθεν κἀγὼ ὁ ἀνάξιος προσπίπτω σοι αἰτούμενος λόγον ἐν ἀνοίξει τοῦ στόματός μου. Διάλυσον οὖν μοι τὴν ἀφωνίαν, ὡς καὶ τὴν τοῦ Διακόνου ποτὲ, ἵνα πίστει καὶ φόβῳ κραυγάζω σοι· Χαίροις φύλαξ ὁ τῆς Νήσου, ΣΠΥΡΙΔΩΝ, ταύτης ὁμοῦ, καὶ πρόμαχος.

ΤΩ͂

## ΤΩ͂ ΑΥΤΩ͂ ΜΗΝΙ͂, ιβ΄.

ΜΝΗ͂ΜΗ ΤΟΥ͂ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩ͂Ν

# ΣΠΥΡΙΔΩΝΟΣ

## ΤΟΥ͂ ΘΑΥΜΑΤΟΥΡΓΟΥ͂.

Ἐπισκόπου γενομένου Τριμυθοῦντος, Πάφου καὶ Προεστάτου Κερκύρας.

Στίχ. Ὁ Θαυματουργὸς κἂν τέθνηκε ΣΠΥΡΙΔΩΝ,
Τοῦ θαυματουργεῖν οὐκ ἔληξεν εἰσέτι.
Ἀμφὶ δυωδεκάτην ΣΠΥΡΙΔΩΝ βιότοιο ἀπῆλθε.

## ΕΙΣ ΤΟ ΑΓΙΟΝ ΛΕΙΨΑΝΟΝ.

Στίχ. Καὶ ζῇς ἐν μακάρεσσι, καὶ οὐ μακρὸν ὕπνον ἰαύεις,
Ἀλλὰ φέρεις μορφὴν ἀρτιθανοῦς ΣΠΥΡΙΔΩΝ.
Ἄσσα δέ σοι φθιμένῳ σαυρόγραφα ῥήγεα θῆκαν,
Λάτρεις, οὐ θρύπτει σητὸς ἄμοιρα πέλει.
Καὶ λιπαρὴν Κερκύραν ἔχεις, καὶ θαύματα πρήσσεις
Λάτρι φίλε Χριστοῦ, Λάτρι φίλε Τριάδος.

Οὗτος ὁ μέγας Πατὴρ ἡμῶν, καὶ Θαυματουργὸς Σπυρίδων ἤκμασεν ἐπὶ τῆς Βασιλείας Κωνσταντίνου τοῦ Μεγάλου, καὶ Κώνσταντος τοῦ Υἱοῦ αὐτοῦ. Ἦν δὲ τὸν τρόπον ἁπλοῦς, τὴν καρδίαν ταπεινός. Ἐγένετο δὲ ἐξ ἀρχῆς Ποιμὴν προβάτων· ἔπειτα γυναικὶ προσωμίλησε, καὶ μετὰ τὴν αὐτῆς ἀποβίωσιν Ἐπίσκοπος κατέστη. Ἐπὶ τοσοῦτον δὲ ἦν αὐτῷ ἡ χάρις τῶν ἰαμάτων, ὡς ἐπωνυμίαν αὐτῷ γενέσθαι τὰ θαύματα. Καὶ γὰρ ἐν αὐχμῷ κατήγαγεν ὑετόν, καὶ πάλιν αὐ-



αὐτοῦ τὴν ἀμετρίαν ἐκώλυσε δι' εὐχῆς. Καὶ μελετώμενον λιμὸν παρὰ τῶν σιτοκαπήλων ἔλυσε, συμπεσουσῶν αὐτοῖς τῶν ἀποθηκῶν, αἷς τὸν σῖτον συνεῖχον. Καὶ ὄφιν μετέβαλεν εἰς χρυσόν· καὶ μετὰ τὸ λῦσαι δι' αὐτοῦ τὴν τοῦ πένητος συμφοράν, πάλιν τὸν χρυσὸν εἰς ὄφιν ἀπεκατέστησε. Καὶ ποταμῶν ῥεύματα ἔστησε. Καὶ πόρνην αὐτοῦ προσψαῦσαι τολμήσασαν, τὰ κατ' αὐτὴν ἐξαγορεῦσαι πεποίηκε. Καὶ τοὺς ἐπὶ λόγοις μέγα φρονοῦντας ἐν τῇ κατὰ Νίκαιαν Συνόδῳ τῇ δυνάμει τοῦ Ἁγίου Πνεύματος ἐπεστόμισε. Καὶ παρακαταθήκην χρημάτων γυναικὸς ἐπιζητούσης παρὰ τῆς αὐτοῦ θυγατρός, ἤδη νεκρᾶς οὔσης, ἐρωτήσας, καὶ μαθὼν ἔνθα κέκρυπται παρ' ἐκείνης, τῇ τούτων Κυρίᾳ τὰ χρήματα δέδωκε. Καὶ τὸν Βασιλέα Κωνστάντιον τοῦ συνέχοντος πάθους ἀπήλλαξεν. Ἀνεζώωσε δὲ καὶ παῖδα τινὸς γυναικός. Καὶ τὸν κατὰ πλεονεξίαν αἶγα βουλόμενον λαβεῖν διήλεγξε, τῆς μιᾶς αἰγὸς πρὸς τὴν μάνδραν ἀπὸ τοῦ ταύτην ἕλκοντος βίᾳ μεταχωρούσης. Μετὰ δὲ τὸ τὴν τιμὴν αὐτῆς ἀποδοῦναι, μεινάσης σὺν ταῖς λοιπαῖς. Ἰάσατο δὲ καὶ τοῦ Διακόνου τὴν ἀφωνίαν. ὃς μικρὰν εὐχὴν ἐπιτραπεὶς εἰπεῖν, μεγάλην ἐξέτεινε, καὶ εὐθὺς εἰς ἀφωνίαν κατέστη. Τούτῳ ποτὲ λειτουργοῦντι συνυπακούοντες ὤφθησαν Ἄγγελοι, καὶ, Τῷ Πνεύματί σου, λέγοντες, ἐν τῷ τὴν Εἰρήνην τῷ λαῷ συνήθως διδόναι· τῶν γὰρ ἐν λαμπάσι φώτων ὀλίγων παρὰ τῶν ὑπηρετῶν ἀναφθέντων, καὶ τοῦ Ἁγίου δυσχεραίνοντος ἐπὶ τούτῳ, μὴ παρεῖναι τινὰς ἔλεγον, καὶ μὴ δεῖσθαι πλείονος δαδουχίας. Ἐμαρτυρήθη οὖν τῷ Ἁγίῳ ἄνωθεν, ὅτι θεατὰς μᾶλλον Ἀγγέλους ἔσχε συνυπακούοντας ἐν ταῖς εὐχαῖς, καὶ συμψάλλοντας. Ἡ δὲ ἐν τῷ λύχνῳ, ἤδη μαραινομένου τοῦ ἐν αὐτῷ φωτός, καὶ λήγοντος διὰ τροφῆς ἔνδειαν, ἐξαίφνης ἡ τούτου ἀνάβλυσις, τίνας οὐκ ἐκπλήττει τῷ θαύματι; Πολλοῖς δὲ καὶ ἐκ προγνώσεως θείας περὶ τῶν μελλόντων ἐθέσπισε. Καὶ τὸν Ἐπίσκοπον Τριφύλλιον νουθετήσας, τοῖς τοῦ Κόσμου προσεπικότα τερπνοῖς καὶ προσκείμενον, ποθεῖν μᾶλλον τὰ μέλλοντα ἐπει-

ἔπεισε. Καὶ τὴν μοιχευθεῖσαν γυναῖκα, τὴν ἐξομολόγησιν μὴ καταδεχομένην, ἀλλ' ἐν τῷ τίκτειν, τὸν ἴδιον ἄνδρα πείθουσαν, ὅτι ἐξ αὐτοῦ εἴη τὸ ἐγκυμονούμενον, καίτοιγε μῆνας εἴκοσιν ἀποπλεύσαντα, καὶ μὴ συγγενόμενον αὐτῇ, ἐπιτιμήσας, τῷ θανάτῳ παρέδωκε. Τούτῳ, θέρους ὥρᾳ ἐν ἡλίῳ φλέγοντι, δρόσου πλήρης ἡ κεφαλὴ ἐπεφαίνετο, δηλοῦντος τοῦ τὴν ἐπ' αὐτῷ τοῦ Θεοῦ γενησομένην τιμήν. Ὅπως δὲ ἦν συμπαθής, ἐδήλωσε τὸ συμβὰν εἰς τοὺς τὴν Ποίμνην αὐτοῦ συλῆσαι ἐπιχειρήσαντας· οὐ μόνον γὰρ αὐτοὺς ἀορασίᾳ κρατουμένους τοῦ πάθους ἀπήλλαξεν, ἀλλὰ καὶ κριὸν ἕνα δοὺς, ἀπέλυσεν ἐπειπὼν, ἵνα μὴ ὦσι μάτην ἠγρυπνηκότες. Οὗτος, τὸ πιστευθὲν αὐτῷ ποίμνιον καλῶς ἰθύνας, πρὸς τὴν τῶν Ἀγγέλων πολιτείαν, καὶ διαγωγὴν μετετάξατο.

Τὸ δὲ αὐτοῦ σεβασμιώτατον Σκῆνος, μετὰ τὴν οἰκτρὰν τῆς Κωνσταντινουπόλεως ἅλωσιν, εἰς Κέρκυραν μετηνέχθη διά τινος εὐγενοῦς τῶν ἐκεῖθεν, Καλοχαιρέτη τούπίκλην. ὃς καὶ Ναὸν ἐγείρων πανευκλεῆ καὶ σεβάσμιον, ἐκεῖσε τὸ πάνσεπτον μετέθηκε Λείψανον· καὶ τὸν τοῦ ἱερατεύειν αὐτὸς βαθμὸν ἀναβὰς, καθ' ἑκάστην τῷ Κυρίῳ τὰς εὐχαριστίας προσήνεγκε. Καὶ δὴ τῇ τοῦ Σκήνους καταθέσει, καὶ ἐπισκιάσει τοῦ Παναγίου Πνεύματος, πλεῖσται ἰάσεις καὶ θαυματουργίαι ὑπερεκβλύζουσαι διετελοῦντο· ἃς ὁ τῆς Κερκύρας λαὸς ἐκπληττόμενος, διὰ πάσης τῷ ἱερῷ τοῦ Ἁγίου Τεμένει προσέτρεχεν εὐλαβείας, ὡς τοιούτου λαχόντες Θησαυροῦ, τοιούτου θείᾳ προνοίᾳ πολιούχου ἀξιωθέντες. Ἀνακαινισθείσης δὲ μετὰ ταῦτα τῆς Πόλεως, καὶ ἑτέρωθι μετακτισθείσης, ἄλλον ἐγείρουσι τῷ Ἁγίῳ Ναὸν οἱ τότε Ἱεροθύται, οἱ ἐκ Κερκύρας δηλαδὴ Βούλγαροι· εἰς οὓς δι' Ἀσιμίνης τῆς μακαρίτιδος τὸ κατὰ Κόσμον τῆς δεσποτείας δικαίωμα τοῦ Ἱεροῦ μετέβη Λειψάνου. Ὃς δὴ καὶ διὰ πλουσίων τοῦ λαοῦ δώρων, καὶ πολυτίμων ἀναθημάτων περίδοξος, ὡς τὰ νῦν φαίνεται, τετελείωται. Ἔνθα ἡ τῶν Λειψάνων προκειμένη Θήκη περίβλεπτος παντοίαις πᾶσι δο-





ξάζεται ταῖς τερατουργίαις, καὶ ὁ Θαυματουργὸς ζῶν ΣΠΥΡΙΔΩΝ θαύμασι πάντας ἐκπλήττει καὶ μετὰ θάνατον. Ὑστερούσῃ γάρ ποτε τῇ Κερκυραίων Νήσῳ τῶν πρὸς τὸ ζῆν, λιμῷ τε συνεχομένῃ βιαίῳ, σίτους διὰ πλοίων ὁ Ἅγιος ἐχαρίσατο, ἐπιφανεὶς τοῖς Ναυκλήροις, καὶ τὴν τῆς Νήσου τούτοις ἐν τῷ ἁγίῳ Σαββάτῳ προμηνυσάμενος χρείαν· διὸ καὶ λαμπρὸν καὶ τερπνὸν τῇ συγερᾷ Νήσῳ τὸ τότε συνέβη Πάσχα τῇ τοῦ Ἁγίου προμηθείᾳ. Καὶ Θεοδώρῳ τινὶ ἐξ Ἑώας ἐμπόρῳ τέλεον τῆς τῶν ὀφθαλμῶν στερηθέντι ὁράσεως, καὶ τῷ τοῦ Ἁγίου Ναῷ θερμῇ τῇ πίστει δραμόντι, ὀξύτατον τὸ φῶς ἐδωρήσατο. Καὶ λοιμοῦ τὴν τῶν Κερκυραίων λυμαίνοντος Πόλιν, πάντων τε τῷ τοῦ Ἁγίου προστρεχόντων ἀδιαφόρως Τεμένει, ἐν οἷς καὶ βουβῶσι πολλοὶ συνήχοντο· ἐξ οὗ τὴν Πόλιν διὰ μιάσματος διαφθαρῆναι φύσεως ἔδει νόμοις, οὐδὲν σχεδὸν πέπονθεν ὁ εὐλαβὴς ἐκεῖνος λαὸς, ἀλλ' ἐν τάχει τῆς προτέρας ὑγιεινῆς ἠξίωτο καταστάσεως, τῇ τοῦ Ἁγίου μεσιτείᾳ. Τὸ δὲ τοὺς ἐκ τῆς ὑψορρόφου ἀκρότητος τοῦ Κωδωνοστασίου τῆς τοῦ Ἁγίου Ἐκκλησίας κεραυνικῇ βίᾳ κατακρημνισθέντας, ὡς πρὸς τὸ τὴν ἐκεῖσε φλόγα κατασβέσαι εὐλαβείας ζήλῳ ἀδεῶς ἀναβάντας, καὶ μηδὲν παθόντας κακὸν, τίνα τῷ θαύματι οὐκ ἐξέπληξε; Προσέτι δὲ καὶ τυφλοὺς τῶν ἐρετῶν δύο, τοὺς καὶ ὡς ἀχρείους ἐκ τῶν Ἐνετῶν στόλου καταβληθέντας, τὸν μὲν, ἐκ τῆς Ἀντωνίου τοῦ Βερνάρδου τριήρεος, τὸν δὲ, ἐκ τῆς Ἱερωνύμου τοῦ Μαυρικίου, ὁλοκλήρῳ τῇ ὁράσει παρέδωκε, καὶ τὸ, μέγας ὁ Κερκυραίων ΣΠΥΡΙΔΩΝ, πάντας ἀλαλάξαι πεποίηκε, τῇ τοῦ τερατουργήματος αὐτοψίᾳ καταπλαγέντας. Καί τινα τῶν προκρίτων Κυριαρχούντων κενὰ ληροῦντα καὶ φρυαττόμενον, καὶ παιδὶ ἀνιάτως ἔχοντι καταγελῶντα, ὡς ὑπὸ τὴν τῶν Λειψάνων τοῦ Ἁγίου θήκην θεραπείας χάριν καταπεσόντι, ἐν τῷ προσπορεύεσθαι ὡς ἔθος αὐτῆς παλαιὸν, καὶ πάτριος νόμος, τόν τε Κλῆρον καὶ τὸν λαὸν μετ' αὐτοῦ τοῦ Ἁγίου, καὶ τῶν Εἰκόνων τῆς Θεομήτορος, ἔτι δὲ καὶ προσκλαίοντας αὐ-

αὐτοῦ χλευάζοντα τοὺς γονεῖς, ἡ θεία δίκη θᾶττον ὑπέφθασε· πυροβόλου αὐτῇ τῇ ὥρᾳ ἐξάπινα διαρραγέντος, καὶ τὸν τούτου δεξιὸν ὀφθαλμὸν κατορύξαντος, οὗγε πολλοὶ καὶ τότε ζῶντες αὐτόπται καὶ μάρτυρες· καίπερ ὁλονύκτιος ἦν αὐτῷ μετὰ ταῦτα ἐν τῷ Ναῷ τοῦ ΣΠΥΡΙΔΩΝΟΣ ἡ μετάνοια, καὶ παννύχιοι μετὰ δακρύων αἱ προσευχαί. Ἐν δὲ τοῖς καθ' ἡμᾶς χρόνοις, τῷ χιλιοστῷ δηλαδὴ καὶ ἑξακοσιοστῷ ἑβδομηκοστῷ τρίτῳ σωτηρίῳ ἔτει, λοιμώδους πάλιν μιάσματος ἀγροὺς καὶ Πόλιν, καὶ κώμας λελυμασμένου, ὥστε πᾶσιν ἀφύκτως ὠμὸν ἐπικρέμασθαι θάνατον, σχεδόν τε πᾶσαν ἀπολωλέναι τὴν Νῆσον, (καὶ ταῦτά γε δὶς κατὰ τὸ αὐτὸ ἔτος) ὁ θαυματουργὸς οὗτος τὴν νόσον ἰάσατο, ἐξ ἀσθενείας ὡς τάχιστα πάντας ἀναλαβών, ἄρδην τε ἀνερρῶσαι ποιήσας. Καὶ μέγα ἦν, τῇ ἡμέρᾳ τῆς Πανηγύρεως τοῦ ἐν τῷ τυφλῷ Θεοδώρῳ γεγονότος ὑπὸ τοῦ Ἁγίου θαύματος, δεκάτῃ τρίτῃ τοῦ Ἰουλίου, τοὺς ἤδη ἡμιθανεῖς, μηκέτι λοιμώττοντας ἀκαρῆ κατιδεῖν· καὶ τὸ δεύτερον, αὐτῇ τῇ τῶν Βαΐων ἡμέρᾳ τῆς ἐτησίου Λιτῆς τοῦ μεγάλου ΣΠΥΡΙΔΩΝΟΣ, πεπαυμένον ἤδη θεάσασθαι, (ὢ τοῦ θαύματος) τὸν λοιμόν. Τὸ δὲ ἔσχατον, καὶ ἐν ταῖς καθ' ἡμᾶς ἡμέραις, καὶ πρὸ τῶν ἡμῶν ὀφθαλμῶν, ἀξιάκουστον πάνυ, καὶ ἀξιάγαστον. Ἐν γὰρ τῷ ἐνεστῶτι ἔτει χιλιοστῷ ἑπτακοσιοστῷ δεκάτῳ ἕκτῳ Ἰουνίου εἰκοστῇ τετάρτῃ, μετὰ λυσσώδους ὁρμῆς τῶν ἀθέων Ἀγαρηνῶν, διά τε γῆς, καὶ θαλάσσης ἐπιδραμόντων, καὶ τὴν Πόλιν ἡμῶν Κέρκυραν δεινῶς καταπολεμούντων, οἱ Πιστοὶ πάντες εἰς τὴν τοῦ κοινοῦ Πατρὸς προστασίαν, καὶ σκέπην, μετὰ πολλῆς εὐλαβείας κατέφυγον· ἀλλὰ καὶ τοῦ σκοποῦ οὐκ ἀπέτυχον· ἐπειδὴ ἐξάπινα ὑπὲρ λόγον, καὶ πᾶσαν ἐλπίδα οἱ ἀντίδικοι, καὶ περικαθήμενοι, ὡς ἀστραπαὶ ἠφανίσθησαν, ἐκτρεπόμενοι εἰς ὀξυτάτην φυγήν, κατὰ τὴν πρώτην καὶ δεκάτην Αὐγούστου, μηδενὸς τότε αὐτοὺς διώκοντος, εἰμὴ μόνης τῆς ἀοράτου δυνάμεως τοῦ Σωτῆρος ἡμῶν Θεοῦ, διὰ τῶν δραστικωτάτων εὐχῶν τοῦ Ἁγίου. ὅθεν καὶ





ἡ εὐγνώμων τῶν θεοφρουρήτων ἡμῶν Ἀριστοκρατούντων εὐσέβεια, ἀργυρότευκτον Λυχνίαν πολύφωτον εἰς τὸν πάνσεπτον αὐτοῦ Ναὸν εὐθέως ἀπέστειλε, καὶ κοινῷ βουλεύματι διετάξατο Λιτὴν ἐνιαύσιον μετὰ τοῦ θεσπεσιωτάτου Λειψάνου, κατὰ τὴν αὐτὴν ἡμέραν τῆς ἐλευθερώσεως γίγνεσθαι. καὶ προσέτι ἑκατὸν πεντήκοντα ἀργυρᾶ νουμίσματα τοῖς πτωχοῖς διανέμεσθαι, παρά τε τοῦ Ἀρχιεπισκόπου, καὶ τοῦ Ἀρχιπρεσβυτέρου τῆς Πόλεως, εἰς ἀΐδιον μνήμην, καὶ εὐχαριστίαν. Ἀλλὰ τίς ἂν ἔχοι διεξιέναι καθ' ἕκαστον τὰ διὰ τοῦ πολιούχου Πατρὸς ἡμῶν τερατουργούμενα καθ' ἑκάστην; Χρυσόστομον ἔδει παρεῖναι, καὶ πανηγυρίσαι ΣΠΥΡΙΔΩΝΟΣ τὰ τεράστια· πηλίνῃ γλώττῃ οὐ θέμις. Χριστῷ τῷ Σωτῆρι ἐν Πατρὶ καὶ Ἁγίῳ Πνεύματι δόξα καὶ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ὠδὴ, ζ'. Ὁ Εἱρμός. Δίς.

„ Ῥήτορες ἀνεδείχθησαν Παῖδες, φιλοσοφώτατοι ποτέ. ἐκ θεολήπτου ψυχῆς γάρ, θεολογοῦντες χείλεσιν ἔμελπον· ὁ ὑπέρθεος τῶν Πατέρων καὶ ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Στίχ. Εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Ἑώρα ἐν νυκτὶ Ἰακὼβ μέν, ὡς ἐν αἰνίγματι Θεὸν σεσαρκωμένον. ἐκ σοῦ δὲ ἐν φρυκτωρίᾳ ὤφθη τοῖς μέλπουσιν. ὁ ὑπέρθεος τῶν Πατέρων, καὶ ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Στίχ. Ὅτι δίκαιος εἶ ἐπὶ πᾶσιν.

Σύμβολα τῆς ἐν σοὶ ἀποῤῥήτου, προκαταγγέλλων συμπλοκῆς, τῷ Ἰακὼβ προπαλαίει. δι' ἧς ἑκὼν ἡνώθη ἀνθρώποις Ἁγνή, ὁ ὑπέρθεος τῶν Πατέρων καὶ ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Στίχ. Καὶ πᾶσαι αἱ κρίσεις σου ἀληθῶς.

Βέβηλος ὁ μὴ ἕνα κηρύττων, τὸν τῆς Παρθένου σε Υἱόν, τῆς πανυμνήτου Τριάδος, καὶ ἀδιστάκτῳ γνώμῃ καὶ γλώσσῃ βοῶν· ὁ ὑπέρθεος τῶν Πατέρων καὶ ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Στίχ. Καὶ ἐπὶ τὴν Πόλιν τὴν Ἁγίαν.

ΝΟμισε τὸ κεφάλαιον Κόρη, καὶ Προφητῶν ὁ Γαβριὴλ, ὑποδεικνύων ἐβόα· ἰδοὺ σὺ τίκτεις μόνη πανύμνητε, τὸν ὑπέρθεον τῶν Πατέρων καὶ ἡμῶν Θεὸν εὐλογημένη.

Ἄλλος. Ἀντίθεον πρόσαγμα.

Στίχ. Εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

ΜΩσέως τὸ ἄπλαστον Δαβὶδ τὸ πρᾶον, Ἰὼβ τοῦ Αὐσίτιδος, τὸ ἄμεμπτον κτησάμενος, τοῦ Πνεύματος γέγονας κατοικητήριον, μέλπων Ἱερώτατε· ὁ ὢν εὐλογημένος καὶ ὑπερένδοξος.

Στίχ. Καὶ εὐλογημένον τὸ ὄνομα τῆς δόξης σου.

ΨΕκάδες τῇ Κάρᾳ σου ἐν ὥρᾳ θέρους, οὐράνιαι στάζουσαι, τὸ μέλλον προεκήρυττον. Θεὸς γὰρ ὡς ἔφησας τὴν θείαν μνήμην σου, ἔνδοξε ἐδόξασε πιστοὺς, καθαγιάζων τῇ μεσιτείᾳ σου.

Στίχ. Εὐλογημένος εἶ ἐν τῷ Ναῷ.

ΣΥνόδῳ Πατέρων σε Θεὸς δοξάζει, ἐν κρίσει φυλάξαντα, τοὺς λόγους σου μακάριε· οὓς πίστει προσήγαγες τὸν ἀλογώτατον, Ἄρειον μωραίνοντας σαφῶς, καὶ καταργοῦντας τὴν τούτου ἔνστασιν.

Στίχ. Εὐλογημένος εἶ ὁ βλέπων ἀβύσσους.

Θεοτοκίον.

ΤΟν βότρυν ἐβλάστησας ἀρρήτῳ λόγῳ, Παρθένε ὡς ἄμπελος, τὸν μόνον ἀναβλύζοντα, οἶνον ἀγεώργητον πάντας εὐφραίνοντα, πάντας ἁγιάζοντα βροτοὺς, καὶ πᾶσαν μέθην δεινῶν ἐξαίροντα.

Ἄλλος. Οἱ Παῖδες εὐσεβείᾳ.

Στίχ. Εὐλογημένος εἶ ὁ ἐπὶ θρόνου δόξης.

ΔΑβὶδ μὲν βασιλεύειν, ἐκ ποιμνίου ἐκλεχθεὶς ὡς γέγραπται. σὺ δὲ θαυμάσιε πιστὸς, ἐκ ποιμένος ἀναδέδειξαι, ἱερουργὸς πανευπρεπὴς βοῶν τῷ Κτίσῃ σου· ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Στίχ.



Στίχ. Εὐλογημένος εἶ ἐν τῷ στερεώματι.

ΕΞίσταντο οἱ ὄχλοι, μὴ ὁρῶντες νοερῶν δυνάμεων, θεῖα στρατεύματα Χριστοῦ, ἐν Ναῷ, ἀλλὰ τὸν Δίκαιον, σὺν αὐτοῖς συλλειτουργοῦντα καὶ συμψάλλοντα· ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Δόξα.

ΩΣ λόγον ἀληθείας, σὺ ἐκφαίνων εὐσεβῶς ἐκήρυττες, τὸ ὁμοούσιον λαμπρῶς, ἀφιστῶν τῆς πλάνης Ἄρειον· τὴν Τριάδα πείθων δὲ κηρύττειν μέλποντα, τοῖς τῶν Πατέρων ὀρθοῖς ἑπόμενον λογίοις.

Καὶ νῦν. Θεοτοκίον.

ΗΘεία μυροθήκη, τὸ εὐῶδες μύρον ἔνδον φέρουσα, ἐν τῷ σπηλαίῳ Βηθλεὲμ, ἐκκενῶσαι τοῦτο ἔρχεται, εὐωδίας μυστικῆς πληροῦν τοὺς μέλποντας· ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Καταβασία.

„ΟἹ Παῖδες εὐσεβείᾳ συντραφέντες, δυσσεβοῦς προστάγματος καταφρονήσαντες, πυρὸς ἀπειλὴν οὐκ ἐπτοήθησαν, ἀλλ' ἐν μέσῳ τῆς φλογὸς ἑστῶτες ἔψαλλον· ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η΄. Ὁ Εἱρμός. Δίς.

„ΙΝδάλματος χρυσοῦ, καταπτύσαντες τρισόλβιοι Νεανίαι, τὴν ἀπαράλλακτον καὶ ζῶσαν Θεοῦ Εἰκόνα, τεθεαμένοι μέσον τοῦ πυρὸς ἀνέμελπον· ἡ οὐσιωθεῖσα ὑμνείτω τὸν Κύριον πᾶσα Κτίσις, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Στίχ. Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

ΙΣχύν σε κραταιὰν, καὶ ἀντίληψιν, κεκτήμεθα Θεοτόκε, καὶ τὴν κακίαν ἐκτρεπόμεθα, τῶν μισούντων τῇ σῇ δυνάμει, πίστει μελῳδοῦντες ἅπαντες· ἡ οὐσιωθεῖσα ὑμνείτω τὸν Κύριον πᾶσα Κτίσις, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Στίχ. Εὐλογεῖτε Ἄγγελοι Κυρίου.

ΩΡάθη ἐπὶ γῆς, διὰ σοῦ, καὶ τοῖς ἀνθρώποις συνανεστράφη, ὁ ἀγαθότητι ἀσύγκριτος, καὶ δυνάμει, ᾧ μελῳδοῦντες, πάν-

πάντες οἱ πιστοὶ κραυγάζομεν· ἡ σωθεῖσα ὑμνείτω τὸν Κύριον πᾶσα Κτίσις, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Στίχ. Εὐλογεῖτε ὕδατα πάντα τὰ ὑπὲρ ἄνω.

Κυρίως σε Α'γνὴ, καταγγέλλοντες δοξάζομεν Θεοτόκε. σὺ γὰρ τὸν ἕνα ἀπεκύησας, τῆς Τριάδος σεσαρκωμένον, ᾧ σὺν τῷ Πατρὶ καὶ Πνεύματι πάντες μελῳδοῦμεν· ὑμνείτω τὸν Κύριον πᾶσα Κτίσις, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Στίχ. Εὐλογεῖτε Η῞λιος καὶ Σελήνη.

Εὐθύτης ἡ σοφῶς, τὸ πᾶν διϊθύνουσα ἠγάπησεν ἐπαξίως, σὲ τὴν παμμώμον καὶ πανάχραντον Θεοτόκον, ἀνερμηνεύτως Πανάγνε ἐν σοὶ σκηνώσασα· ἣν δοξολογοῦμεν, ὑμνείτω κραυγάζοντες πᾶσα Κτίσις, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Α῎λλος. Κάμινος ποτὲ πυρός.

Στίχ. Εὐλογεῖτε πάντα τὰ πετεινὰ τοῦ Οὐρανοῦ.

Κάμινον παθῶν, ταῖς θείαις ἐπομβρίαις, τοῦ θείου Πνεύματος κατέσβεσας· καὶ δρόσον ἐπήγασας νοσημάτων Πάτερ καύσωνα, ἐξαίρουσαν τῶν πίστει σοι, πάντοτε προσιόντων, μάκαρ ΣΠΥΡΙ'ΔΩΝ πανόλβιε.

Στίχ. Εὐλογεῖτε Υἱοὶ τῶν ἀνθρώπων.

Α῎κακος εὐθὺς, καὶ πρᾶος συμπαθής τε, καὶ ἀνεξίκακος γεγένησαι, ἀγάπης φιλόξενος, Ἱεράρχης Ἱερώτατος, φρονήματι κοσμούμενος, Ο῞σιε ὀρθοδόξῳ, ὅθεν σε πίστει γεραίρομεν.

Στίχ. Εὐλογεῖτε Ἱερεῖς Κυρίου, δοῦλοι Κυρίου.

Πάλαι σοι φωνὴν, ὡς ζῶσα ἡ θανοῦσα, διερωτῶντι Πάτερ δέδωκεν. ὢ θαῦμα ἐξαίσιον. ὢ παράδοξον μυστήριον. ὢ χάριτος ἧς ἔτυχες, βίῳ κεκοσμημένος, Α'γγελικῷ ἀξιάγαστε.

Στίχ. Εὐλογεῖτε Πνεύματα καὶ ψυχαὶ δικαίων.

Πάθη τῆς ἐμῆς, καρδίας Θεοτόκε, τῇ συμπαθείᾳ σου θεράπευσον· τὸν νοῦν μου εἰρήνευσον, τὴν ψυχήν μου φωταγώ-



γησον, καὶ βαίνειν με εὐόδωσον, τρίβους πρὸς σωτηρίας, ὅπως ἀεὶ μεγαλύνω σε.

Α῎λλος. Θαύματος ὑπερφυοῦς.

Στίχ. Εὐλογεῖτε Α'νανία, Α'ζαρία.

Τὶς σου τὰς θαυματουργίας ἀριθμήσει, Ἱεράρχα ΣΠΥΡΙ'ΔΩΝ Θεόφρον; ὑετοὺς κατήγαγες, Οὐρανίους σῇ προσευχῇ· προσφωνοῦντί σοι Σοφὲ παῖς ἀποκρίνεται. καὶ ῥοῦν ποταμῶν σὺ ἀνεχαίτισας, καὶ σὸν φίλον ἐν τάχει μάκαρ διέσωσας, Α'νακτα ἰάσω, καὶ ξένα ἐπετέλεις.

Στίχ. Εὐλογεῖτε Α'πόστολοι, Προφῆται, καὶ Μάρτυρες.

Η῎λεγξας Αἱρετικῶν τὰς κακονοίας, τῶν ἀπλῶν σε δογμάτων τοῖς λόγοις. πίστιν γὰρ ὀρθόδοξον, Ἱεράρχα καὶ ἀκλινῆ, Θεοφάντορ ἐκδιδάξας ἀνεκήρυξας. διὸ ἀνυμνοῦντες ἀναμέλπωμεν· εὐλογείτω ἡ Κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Στίχ. Εὐλογοῦμεν Πατέρα, Υἱὸν, καὶ Α῞γιον Πνεῦμα.

Θαύματα ὑπερφυῶς τοῖς ἀσθενέσιν, ἀναβλύζει σου Πάτερ ἡ Θήκη. ἐπαξίως ὤφθης γὰρ, σκεῦος θεῖον τῆς ἐκλογῆς, καὶ λειμὼν τῆς ἀπαθείας εὐώδέστατος· πιστοὺς καθηδύνων τοὺς τιμῶντάς σου, τὴν ἁγίαν καὶ θείαν φαιδρὰν καὶ ἔνδοξον, κοίμησιν ἀξίως, ΣΠΥΡΙ'ΔΩΝ Θεοφόρε.

Καὶ νῦν. Θεοτοκίον.

Α῎κουσμα καινὸν σὺ ὦ Παρθένε Κόρη, μόνη τίκτεις γὰρ ἄφρασον τόκον, τὸν Σωτῆρα Κύριον, ἀπειράνδρως τὴν σὴν νηδὺν, τὴν πανάχραντον σφραγίσαντα ὡς οἶδεν αὐτός· διὸ γεγηθότες ἐκβοῶμέν σοι· χαῖρε πάντων τῶν εὐσεβῶν τὸ διάσωσμα· μὴ παύσῃ πρεσβεύειν ἡμᾶς ἐλεηθῆναι.

Καταβασία.

„ Θαύματος ὑπερφυοῦς ἡ δροσοβόλος, ἐξεικόνισε κάμινος
„ τύπον. οὐ γὰρ οὓς ἐδέξατο, φλέγει νέους ὡς οὐδὲ πῦρ,
„ τῆς Θεότητος Παρθένου ἣν ὑπέδυ νηδὺν. διὸ ἀνυμνοῦντες
„ ἀνα-

„ ἀναμέλψωμεν· εὐλογείτω ἡ Κτίσις πᾶσα τὸν Κύριον, καὶ
„ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ, θ'. Ὁ Εἱρμός. Δίς.

„ Ὅλος ὑπάρχεις ἔφεσις, ὅλος γλυκασμὸς, Λόγε Θεοῦ,
„ Παρθένου Υἱὲ, Θεὲ Θεῶν Κύριε, Ἁγίων Ὑπερά-
„ γιε. διό σε ἅπαντες, σὺν τῇ Τεκούσῃ μεγαλύνομεν.

Στίχ. Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραήλ.

Ὅλη ὑπάρχεις ἄμωμος, ὅλη καθαρὰ, Μήτηρ Θεοῦ Παρθένε Ἁγνή· λαοῦ πιστοῦ στήριγμα, Ἀγγέλων ὑπερέχουσα. διό σε ἅπαντες, ὡς Θεοτόκον μεγαλύνομεν.

Στίχ. Καὶ ἤγειρε κέρας σωτηρίας ἡμῖν.

Ῥάβδος ἰσχύος δέδοται, φύσει τῇ σαθρᾷ, Λόγος Θεοῦ ἐν μήτρᾳ σου Ἁγνὴ, καὶ ταύτην ἀνέστησε πρὸς ἄδην ὀλισθήσασαν. διό σε ἅπαντες, ὡς Θεοτόκον μεγαλύνομεν.

Στίχ. Καθὼς ἐλάλησε διὰ στόματος τῶν Ἁγίων.

Ἣν ᾑρετίσω Δέσποτα, δέξαι συμπαθῶς, πρέσβιν Μητέρα σὴν ὑπὲρ ἡμῶν, καὶ σοῦ τῆς χρηστότητος τὰ σύμπαντα πλησθήσονται. ἵνα σε ἅπαντες, ὡς εὐεργέτην μεγαλύνωμεν.

Στίχ. Ποιῆσαι ἔλεος μετὰ τῶν Πατέρων ἡμῶν.

Νενοηκώς σου Πάναγνε, τὸ φωτοειδὲς, τῆς Παρθενίας καὶ καταπλαγεὶς, χαρᾶ σοι ἐβόησεν, ὁ θεῖος Ἀρχιστράτηγος. διό σε ἅπαντες, ὡς Θεοτόκον μεγαλύνομεν.

Ἄλλος. Ἀνάρχου Γεννήτορος Υἱὸς Θεός.

Στίχ. Ὅρκον ὃν ὤμοσε πρὸς Ἀβραὰμ τὸν Πατέρα.

Ἀνάρχου Γεννήτορος, τρανῶς Υἱὸν ἐκήρυξας, ὁμοούσιον Πάτερ καὶ συναΐδιον, μέσον Θεοφόρων Πατέρων, μεγαλυνθεὶς, καὶ τῶν αἰνομένων, ἐμφράξας τὰ στόματα, Ἱεράρχα παμμακάριστε.

Στίχ. Λατρεύειν αὐτῷ ἐν ὁσιότητι.

Πολύφωτε Ἥλιε, Πατέρων ἐγκαλλώπισμα, Ἱερέων τὸ κλέος Ἀγγέλων σύσκηνε, τοὺς τὴν φωτοφόρον σου μνή-



μνήμην, χαρμονικῶς νῦν ἐπιτελοῦντας, φωτὸς καταξίωσον ἀνεσπέρου ταῖς πρεσβείαις σου.

Στίχ. Καὶ σὺ παιδίον Προφήτης ὑψίστου κληθήσῃ.

Τὰ θεῖα σκηνώματα, ἡ Πόλις ἡ Οὐράνιος, ἡ τῶν ἑορταζόντων τερπνὴ ὁμήγυρις, τὴν ἡγιασμένην ψυχήν σου, καὶ ἀρεταῖς καθωραϊσμένην, παμμάκαρ ἐδέξαντο ἐν φωνῇ ἀγαλλιάσεως.

Στίχ. Τοῦ δοῦναι γνῶσιν σωτηρίας τῷ λαῷ αὐτοῦ.

Θεοτοκίον.

Τὸ μέγα μυστήριον, τῆς ὑπὲρ νοῦν λοχείας σου, καταπλήττει Ἀγγέλους Θεοχαρίτωτε· θέλγει τῶν Ὁσίων τὸν δῆμον, τοὺς ἱεροὺς εὐφραίνει Πατέρας, ἐνθέως ὑμνοῦντάς σε τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Ἄλλος. Μυστήριον ξένον ὁρῶ.

Στίχ. Ἐν οἷς ἐπεσκέψατο ἡμᾶς ἀνατολή.

Μεγάλυνον ψυχή μου, τὸν ἐν τοῖς κινδύνοις, ῥύστην
καὶ προστάτην, Σπυρίδωνα τὸν μέγαν.

Χορεύσωμεν, πνευματικῶς ὦ φιλέορτοι, καὶ χεῖρας κροτήσωμεν, ἄσμασιν ἀνυμνοῦντες τὸν μέγαν, καὶ θεῖον Ποιμένα, οὗ νῦν σκῆνος πᾶσι τὸ πανίερον, πιστοῖς χορηγεῖ ῥῶσιν ψυχῆς ὁμοῦ καὶ σώματος.

Στίχ. Τοῦ κατευθῦναι τοὺς πόδας ἡμῶν.

Μεγάλυνον ψυχή μου, τὸν ἐν τοῖς κινδύνοις, ῥύστην καὶ
προστάτην, Σπυρίδωνα τὸν μέγαν.

Ἐκήρυξας, μέσον Συνόδου Θεόσοφε, Λόγον τὸν συνάναρχον. ἅμα δὲ καὶ ληρώδη καθεῖλες, Ἀρείου τὴν δόξαν, Σοφὲ, καὶ τὴν Σύνοδον ἐκύρωσας. καὶ γὰρ ὤφθης σὺ, ὄντως τῆς Πίστεως ὑπέρμαχος.

Δόξα. Μεγάλυνον ψυχή μου, τῆς Τρισυποστάτου,
καὶ ἀδιαιρέτου Θεότητος τὸ κράτος.

Θρόνῳ Θεοῦ, παρεστηκὼς παμμακάριστε, σὺν θείοις στρατεύμασι, πάντων τῶν νοερῶν Ἀσωμάτων· μὴ παύσῃ πρεσ-

πρεσβεύειν, ἀεὶ τὸν φιλάνθρωπον καὶ Κύριον· Χριστὸν τὸν Θεόν, ὑπὲρ τῶν πίστει ἀνυμνούντων σε.

Καὶ νῦν. Μεγάλυνον ψυχή μου, τὴν τιμιωτέραν, καὶ ἐνδοξοτέραν τῶν ἄνω στρατευμάτων.

Ὑ'Μνουμένη σε, εὐλογημένη Πανύμνητε· ἣν ὑμνοῦσιν Ἄγγελοι πάντες, καὶ Θεοφόροι Πατέρες, καὶ πᾶσα ἡ Κτίσις, Θεὸν ὑπεράγιον ὡς τέξασαν. αὐτὸν ἐλεεῖν, τοὺς σὲ ὑμνοῦντας καθικέτευε.

Καταβασία.

Μεγάλυνον ψυχή μου, τὸν ἐν τῷ σπηλαίῳ, καὶ ἐκ τῆς Παρθένου τεχθέντα Βασιλέα.

„ Μυστήριον, ξένον ὁρῶ καὶ παράδοξον· Οὐρανὸν τὸ σπή-
„ λαιον· Θρόνον Χερουβικὸν τὴν Παρθένον· τὴν φά-
„ τνην χωρίον· ἐν ᾧ ἀνεκλίθη ὁ ἀχώρητος, Χριστὸς ὁ
„ Θεός· ὃν ἀνυμνοῦντες μεγαλύνομεν.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

ΣΠΥΡΙ'ΔΩΝΑ τὸν μέγιστον, καὶ Ἱεράρχην ἅπαντες, νῦν οἱ πιστοὶ συνελθόντες, ἀξίως εὐφημοῦμεν· πηγὴ γὰρ χαριτόβρυτος, πολλῶν θαυμάτων πέφηνεν· ἐν μέσῳ δὲ διέλαμψε, τῆς τε Συνόδου τῆς θείας, τὸν Ἄρειον καταισχύνας.

Δίς. Θεοτοκίον.

Προφῆται προεκήρυξαν, Ἀπόστολοι ἐδίδαξαν, τὸν σὸν Υἱὸν Θεοτόκε, τρανῶς καθομολογοῦντες, Θεὸν τῶν ὅλων πανάγνε· μεθ' ὧν σε μεγαλύνομεν, καὶ πίστει σε δοξάζομεν, οἱ διὰ σοῦ λυτρωθέντες, τῆς παλαιᾶς καταδίκης.

Εἰς τοὺς Αἴνους, ἱστῶμεν στίχ. δ'. καὶ ψάλλομεν τὰ παρόντα προσόμοια, ἦχος, ά. Τῶν Οὐρανίων ταγμάτων.

Τῆς Ἐκκλησίας τὰ ἄνθη περιϊπτάμενος, ὡς νεοσσὸς τῆς ἄνω, καλιᾶς τῶν Ἀγγέλων, ΣΠΥΡΙ'ΔΩΝ Θεοφόρε, σώζεις ἀεί, τοὺς θερμῶς δεομένους σου. καὶ ἐκ κινδύνων λυτροῦσαι καὶ πειρασμῶν, τὸν Θεὸν ἐξιλεούμενος.

Τῆς ἱερᾶς διπλοΐδος τὴν ὡραιότητα, ταῖς πρακτικαῖς εἰργάσω ἀρεταῖς, λαμπροτέραν, Πάτερ Θεοφόρε· ὅθεν

ἡμῖν,



ἡμῖν, ἐκτελεῖς τὰ τεράστια, τῶν ἀοιδίμων θαυμάτων ἱερουργέ, τῶν δεινῶν ἡμᾶς λυτρούμενος.

Τῶν ἀθεάτων τὰ κάλλη, περιερχόμενος, τὴν φοβερὰν ἐκείνην, κατενόησας δόξαν, θεῖε Ἱεράρχα. ὅθεν καὶ νῦν, τὰ ἀπόρρητα Ἅγιε, τῶν ὑπὲρ λόγον ἐκείνων θεωριῶν, ἐποπτεύεις ἱερώτατε.

Δόξα, ἦχος, πλ. ά.

Σαλπίσωμεν ἐν σάλπιγγι ᾀσμάτων· χορεύσωμεν ἑόρτια, καὶ σκιρτήσωμεν ἀγαλλόμενοι, ἐπὶ τῇ σεβασμίᾳ μνήμῃ τοῦ Ἱεράρχου πιστοί. Βασιλεῖς καὶ Ἄρχοντες συντρεχέτωσαν, καὶ τὸν Θεοφόρον κοσμείτωσαν ἐν ὕμνοις, ὡς δογμάτων βλύσαντα ποταμοὺς ὑπερμεγέθεις ἀειζώους τοῦ Πνεύματος. Ποιμένες καὶ Διδάσκαλοι, τὸν τῆς σεπτῆς Τριάδος θεῖον Ἱερομύστην συνελθόντες εὐφημήσωμεν· οἱ Φιλόσοφοι τὸν Σοφόν· οἱ Ἱερεῖς τὸν Ποιμένα· οἱ ἁμαρτωλοὶ τὸν προστάτην· οἱ πένητες τὸν πλουτιστήν· οἱ ἐν θλίψεσι τὸν παραμυθοῦντα· τὸν συνοδίτην οἱ ὁδοιπόροι· οἱ ἐν θαλάσσῃ τὸν κυβερνήτην· οἱ πάντες τὸν πανταχοῦ θερμῶς προφθάνοντα· ΣΠΥΡΙ'ΔΩΝΑ τὸν Ἱεράρχην ἐγκωμιάζοντες, οὕτως εἴπωμεν. Πανάγιε Διδάσκαλε, σπεῦσον ἐξελοῦ σοὺς δούλους ἐκ τῶν τοῦ βίου σκανδάλων, καὶ ῥῦσαι κολάσεων τῶν αἰωνίων ἡμᾶς.

Καὶ νῦν, Θεοτοκίον. ὁ αὐτός.

Σαλπίσωμεν ἐν σάλπιγγι ᾀσμάτων. προκύψασα γὰρ ἄνωθεν ἡ παντάνασσα Μητροπάρθενος, ταῖς εὐλογίαις καταστέφει τοὺς ἀνυμνοῦντας αὐτήν. Βασιλεῖς καὶ Ἄρχοντες συντρεχέτωσαν, καὶ τὴν Βασιλίδα κροτείτωσαν ἐν ὕμνοις, Βασιλέα τέξασαν, τοὺς θανάτῳ κρατουμένους πρίν, ἀπολῦσαι φιλανθρώπως εὐδοκήσαντα. Ποιμένες καὶ Διδάσκαλοι, τὴν τοῦ καλοῦ Ποιμένος ὑπέραγνον Μητέρα συνελθόντες εὐφημήσωμεν, τὴν λυχνίαν τὴν χρυσαυγῆ· τὴν φωτοφόρον νεφέλην· τὴν τῶν Οὐρανῶν πλατυτέραν· τὴν ἔμψυχόν τε κιβωτόν· τὸν πυρίμορφον τοῦ Δεσπότου θρόνον· τὴν

μαν-

μαννοδόχον χρυσέαν στάμνον· τὴν κεκλεισμένην τοῦ Λόγου πύλην· τὴν πάντων Χριστιανῶν τὸ καταφύγιον, ᾄσμασι θεηγόροις ἐγκωμιάζοντες οὕτως εἴπομεν· Παλάτιον τοῦ Λόγου, ἀξίωσον τοὺς ταπεινοὺς ἡμᾶς τῆς Οὐρανῶν Βασιλείας. οὐδὲν γὰρ ἀδύνατον τῇ μεσιτείᾳ σου.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

## ΕἸΣ ΤΗ'Ν ΛΕΙΤΟΥΡΓΙ'ΑΝ.

Ὠδή, γ΄. καὶ ϛ΄. Ὁ Ἀπόστολος, εἰς Ἱεράρχην.

Πρὸς Ἑβραίους. Ἀδελφοί, τοιοῦτος ἡμῖν ἔπρεπεν Ἀρχιερεύς.

Εὐαγγέλιον, κατὰ Ἰωάννην.

Εἶπεν ὁ Κύριος, ἐγώ εἰμι ἡ θύρα. Μεγαλυνάριον.

ΧΑίροις Τριμυθοῦντος ἡ καλλονή. χαίροις Κερκυραίων ὁ σοφώτατος Ἰατρός. χαίροις τῆς Τριάδος ὁ θεῖος μυσολέκτης· Πατέρων μέγα κλέος, ΣΠΥΡΙ'ΔΩΝ Ὅσιε.

Εἰδὲ βούλει, ψάλλε καί τι ἐκ τῶν ἑπομένων, χάριν εὐλαβείας προσεθέντων.

ΑἸνέσωμεν πάντες χαρμονικῶς, τὸν θερμὸν Προστάτην, καὶ ὑπέρμαχον κραταιόν, τὸν σώσαντα Νῆσον, ἁλώσεως βαρβάρων, ΣΠΥΡΙ'ΔΩΝΑ Κερκύρας μέγιστον καύχημα.

ἈΞίως σὲ μέλποντες τὸν λαμπρόν, Κερκύρας φωστῆρα, καὶ εὐήκοον βοηθόν, καὶ σὲ δυσωποῦντες οὐ παύσομεν ἀφθόνως, ἵνα ταῖς σαῖς πρεσβείαις ῥυθῶμεν βλάψεων.

ΤΊς ἐξαριθμήσει σου τὴν πληθύν, τῶν θαυμάτων Μάκαρ; ἐξανέστησας γὰρ νεκρούς· λοιμὸν, πεῖναν, νόσους, καὶ δυσμενεῖς καθεῖλες, καὶ ἐκ χειρῶν ἀνόμων ἡμᾶς ἐξήγαγες.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.

ΤΕ'ΛΟΣ, καὶ τῷ Θεῷ Χάρις.

ἘΓ-



ἘΓΚΩ'ΜΙΑ ΕἸΣ ΤΟ'Ν ἍΓΙΟΝ,

ΚΑΙ' ΘΑΥΜΑΤΟΥΡΓΟ'Ν

# ΣΠΥΡΙ'ΔΩΝΑ

## ΨΑΛΛΟ'ΜΕΝΑ

ἘΝ Τῌ͂ ἈΡΧῌ͂ ΤΗ͂Σ ἈΓΡΥΠΝΙ'ΑΣ

Τῆς Ἁγίας Μνήμης αὐτοῦ, καὶ ἐν ταῖς Λιταῖς τοῦ αὐτοῦ Ἁγίου.

ΜΑκαρίζομέν σε, Ἱεράρχα Χριστοῦ, τῆς Κερκύρας ὦ ΣΠΥΡΙ'ΔΩΝ τὸ καύχημα, καὶ δοξάζομεν τὴν θείαν σου ταφήν.

Μακαρίζομέν σε, καθορῶντες τρανῶς, ὥσπερ ζῶντά σε τῷ θείῳ Λειψάνῳ σου, ἐξ οὗ βρύει τῶν θαυμάτων ἡ πληθύς.

Ἡ ἀκροστιχὶς κατὰ Ἀλφάβητον.

ἌΠνους οὐκ ὑπάρχεις, ὁ χερσὶ τοῦ Θεοῦ, τὴν ψυχὴν σου ἀναθήσας θεσπέσιε, ἀλλὰ ζῇς χοραῖς Μακάρων καὶ σκηναῖς.

Βαίνεις παραδόξως, πρὸς τὸν ἄνω χορόν, καὶ τὰ τάγματα Ἀγγέλων προσδέχεται, σοῦ τὴν θείαν καὶ ἀμώμητον ψυχήν.

Γῆ, καὶ πόλος, ἄστρα, καὶ στοιχεῖα ὁμοῦ, ἡ σελήνη, καὶ ὁ ἥλιος σήμερον, ἄνδρες, Ἄγγελοι αἰνοῦσί σε σοφέ.

Δός μοι τῷ σῷ δούλῳ, τῶν χαρίτων τῶν σῶν, τὰς ψεκάδας ὅπως ᾄσω τὰ θαύματα, κατ' ἀξίαν ἃ ἐποίησας εὐχῇ.

Ἔχει τὸ σὸν Σῶμα, ὡς κειμήλιον γῆ, τῆς Κερκύρας ἡ πολύφημος πάνσοφε, δι' οὗ σώζεται πασῶν ἐξ ἀναγκῶν.

Ζῇ-

ΛΕΙΟΣ ΒΙΒΛΙΟΘΗ… ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟ…

Ζῆς θεῖε Σπυρίδων, εἰ καὶ ἄπνους δοκεῖς, οὐδενὸς γὰρ ἐνδεὲς σου τὸ Λείψανον, εἰμὴ μόνον τοῦ λαλῆσαι ζωηρῶς.

Ἤμβλυνας Τρισμάκαρ, τῶν ἀθέων ἐχθρῶν, ἐν Συνόδῳ τὰ κεντρώδη ληρήματα, τὴν Τριάδα παραστήσας προφανῶς.

Θείᾳ σου σοφίᾳ, οὐ σοφίᾳ φθαρτοῦ, τοῦ παράφρονος Ἀρείου ἀπήλεγξας, φλυαρίας καὶ κατῄσχυνας αὐτόν.

Ἤθυνας τὸ βέλος, πρὸς καρδίαν ἐχθρῶν, καὶ κατέβαλες αὐτοὺς καὶ τὸ τρόπαιον, ἐν Συνόδῳ ἐπανέθηκας πιστοῖς.

Κάτω ὑποκύψας, Κεραμίδα ἐκ γῆς, ἐπανείληφας δι᾽ ἧς τὸ Τρισήλιον, φῶς ἀνέδειξας Θεότητος μιᾶς.

Λίαν ἐν παλάμῃ, σφίγξας θεῖε φωστὴρ, Κεραμίδα πῦρ καὶ ὕδωρ ἅμα καὶ γῆν, διεχώρησας, Τριάδα φανερῶν.

Μόνῃ σου δεήσει, οὐρανόθεν ἐν γῇ, ὑετὸν Σπυρίδων θεῖε κατήγαγες, καὶ ἐκόρεσας διψῶσαν πᾶσαν γῆν.

Νάματα διψώσῃ, σὺ κατάγεις ἐν γῇ, καὶ τὰ πλήθη τῶν ὑδάτων κωλύεις σὺ, παρρησίαν ἣν σὺ ἔχεις πρὸς Θεόν.

Ξένως ἐνηλλάξω, εἰς χρυσίον λαμπρὸν, σὺ τὸν Ὄφιν ἀλλὰ πάλιν ἐποίησας, εἶναι ὄφιν τὸν χρυσὸν ὡς καὶ πρὸ τοῦ.

Ὄμβρους τῇ αὐχμώδει, σὺ κατήγαγες γῇ, ὡς Ἠλίας ὁ θεσβίτης θεσπέσιε, καὶ ἐθαύμασε βροτῶν πᾶσα πληθύς.

Πάσας ἀποθήκας, σὺ καθεῖλες σοφὲ, τῶν σιτοκαπήλων τότε καὶ ἔλυσας, ψυχολέτηρα, καὶ κάκιστον λιμόν.

Ῥεύματα ῥοώδη ὡς Ἠλίας ποτὲ, Ἐλισσαῖος, Ἰησοῦς τε ὁ τοῦ Ναυῆ, λόγῳ ἔστησας Σπυρίδων ἐν τῷ σῷ.

Σῶσαι θέλων Πάτερ ἐκ λιμοῦ τὸν Λαὸν, ἀποθήκας, οὗ ὁ σῖτος, κατέρραξας, καὶ ἀπέλαβον οἱ χρῄζοντες αὐτοῦ.

Τάφος σου ὁ θεῖος, οὐ κατέχει νεκρὸν, ὀδωδότα, ἀλλὰ ζῶντα καὶ τέρατα, καθεκάστην ἐκτελοῦντα προφανῶς.

Ὕδραν πολλὰς κάρας ἔχουσαν τῶν κακῶν, καὶ ἀθέων θεῖε μύσα αἱρέσεων, ἐν τῷ μέσῳ τῆς Συνόδου ἐξολεῖς.

Φρυκτωροῦσι Πάτερ ἐν τῷ κόσμῳ τὰ σὰ, τερατώδη καὶ ξενάκουστα θαύματα, καὶ θαμβοῦσιν Ἱεράρχα πάντα νῦν.

Χαί-



Χαίρουσι τὰ στίφη τῶν Ἀγγέλων σοφὲ, καὶ Ἁγίων, καὶ Μαρτύρων Δικαίων τε, συνοικοῦντά σε νῦν ἔχοντα αὐτοῖς.

Ψάλλομεν ἐν πίστει, ἀσιγήτοις φωναῖς, καὶ ταχέως τὰς αἰτήσεις λαμβάνομεν, τῶν θαυμάτων γὰρ ὑπάρχεις ἡ πηγή.

Ὤφθης ὦ Σπυρίδων, Ἄγγελος ἐπὶ γῆς, ὅθεν νῦν ἐν Οὐρανοῖς εὐφραινόμενος, σὺν Ἀγγέλοις, καὶ Ἁγίοις κατοικεῖς.

Δόξα.

Προσκυνοῦμεν πάντες, τὴν Τριάδα πιστοὶ, τὴν Ἁγίαν τὸν Πατέρα, καὶ τὸν Υἱὸν, καὶ τὸ Πνεῦμα τὸ πανάγιον ὁμοῦ.

Καὶ νῦν. Θεοτοκίον.

Μῆτερ καὶ Παρθένε, προστασία πιστῶν, τὸν θεάνθρωπον Υἱόν σου ἱκέτευε, ὅπως λύσιν ἀποδῷ μοι τῶν παθῶν.

Καὶ πάλιν τὸ πρῶτον.

Μακαρίζομέν σε, Ἱεράρχα Χριστοῦ, τῆς Κερκύρας ὦ Σπυρίδων τὸ καύχημα, καὶ δοξάζομεν τὴν θείαν σου ταφήν.

## ΣΤΑΣΙΣ Β'. Πρὸς τὸ Ἄξιον ἐστί.

Ἄξιον ἐστὶ, μακαρίζειν σε τὸν Ἱεράρχην, Τριμυθοῦντος θεῖον Σπυρίδωνα, καὶ Κερκύρας ἀντιλήπτορα θερμόν.

Ἄξιον ἐστὶ, τὸν Σπυρίδωνα δοξολογῆσαι, Ἄγγελον ὡς ὄντα ἐπίγειον, καὶ Οὐράνιον βροτὸν ὑπερφυῶς.

Ἡ ἀκροστιχὶς κατὰ Ἀλφάβητον.

Ἅπαντες πιστοὶ, προσενέγκωμεν τῷ Ἱεράρχῃ, ὕμνους, καὶ ᾠδὰς νῦν χρεωστικῶς, τὰ παράδοξα κηρύττοντες αὐτοῦ.

Βλέποντες τὸ σὸν, ἀξιάγαστε θεῖε Σπυρίδων, Λείψανον ὁρῶμέν σε προφανῶς, ὥσπερ ζῶντα, καὶ λαλοῦντα μεθ᾽ ἡμῶν.

Γευ-

Γεῦσιν τὴν τρυφῆς, Ἱερώτατε ἐν οὐρανίαις, νῦν χοροστασίαις πάντας ἡμᾶς, ἀπολαῦσαι σαῖς ἀξίωσον εὐχαῖς.

Δέλεαρ σοφὸν, προσενήνοχας ταῖς διδαχαῖς σου, ὅτε τοῦ Ἀρείου τὸ ἄθεον, ἐστηλίτευσας ἐν μέσῳ τοῦ λαοῦ.

Ἔλυσας παθῶν, Κωνσταντίου Πάτερ ἀλγηδόνας, καὶ ὑγείαν τούτῳ ἐπόρισας, παραχρῆμα ἐν αὐτῷ θαυματουργῶν.

Ζῶσαν παριστᾷς, τὴν Εἰρήνην, καὶ αὐτὴν ἠρώτας, παρακαταθήκην ποῦ ἔθηκας; καὶ ὡς ζῶσα ἀπεκρίνατο ποῦ ἦν.

Ἤκουσεν εὐθὺς, ὁ νεκρὸς Υἱὸς ἀπὸ τοῦ ᾅδου, γυναικός τινος τοῦ σοῦ ῥήματος, καὶ ἀνέστη ὥσπερ ζῶν ἐπὶ τῆς γῆς.

Θάνατος ἐν σοὶ, οὐ κατίσχυσεν Ἀρχιεράρχα, ζῇ γὰρ ἡ ψυχή σου ἐν Οὐρανῷ, καὶ τὸ Σῶμά σου ζὸν ἐστιν ἐν τῇ γῇ.

Ἴθυνας καλῶς τὸ σὸν ποίμνιον Ἱερομύστα, ὅθεν τῷ Θεῷ παριστάμενος, δεῦρο ἤκουσας εὖ δοῦλε ἀγαθέ.

Καύματι εὐχῶν, ὁ Διάκονος κενοδοξίᾳ, πράξας ἀφωνίᾳ κολάζεται, ἀλλὰ σὺ αὐτὸν ἰάσω θαυμαστῶς.

Λύων τῶν παθῶν, ἀσθενήματα Ἱερομύστα, πάντας τὰς ἰάσεις ἀπένειμας, ἀφθονέστατα ἐν πάσῃ γενεᾷ.

Μάρτυρας πιστοὺς, ἐν ταῖς θείαις σου Μυσταγωγίαις, ἔσχες τοὺς Ἀγγέλους ἐξ οὐρανοῦ, λειτουργοῦντάς σοι Σπυρίδων εὐλαβῶς.

Νέμεις τὸν καιρὸν, τοῖς συλλήσασι τὸ ποίμνιόν σου, καὶ ἀορασίᾳ τυφλάττοντας, ἠλευθέρωσας τοῦ πάθους τοῦ δεινοῦ.

Ξόανα κωφὰ, καὶ ἀναίσθητα σοφὲ εἰδώλων, κατὰ γῆς εὐδήλως κατέρραξας, καὶ ἐκήρυξας Τριάδα τὴν σεπτήν.

Ὅπως τῶν παθῶν, ἀπολαύσωμεν ἐλευθερίαν, τῇ σῇ νῦν προστρέχομεν Λάρνακι, ἀξιάγαστε Σπυρίδων οἱ Πιστοί.

Πᾶσιν εὐμενῶς, ἐξαπόστειλον Θεῖε Σπυρίδων, τὰς αἰτήσεις πίστει γεραίρουσι, τὴν πανέορτόν σου μνήμην, καὶ σεπτήν.

Ῥῦσαι σαῖς εὐχαῖς, τοὺς προστρέχοντας τῷ σῷ Τεμένει, καὶ παρὰ τοῦ θείου Λειψάνου σου, αἰτουμένους τὰ ἰάματα πιστῶς.

Σῶσον ἱεραῖς, καὶ ἐλέησον σαῖς μεσιτείαις, τὸν πιστὸν λαὸν τὸν προστρέχοντα, τῷ Λειψάνῳ σου Σπυρίδων τῷ σεπτῷ.

Τεῖ-



Τεῖχος βοηθὸν, καταφύγιον καὶ προστασίαν, Κερκυραῖοι πάντες σὲ ἔχοντες, σοὶ προστρέχομεν ἐν θλίψεσι δεινῶν.

Ὕφαλον δεινὴν, καὶ παράνομον κακοδοξίαν, θείᾳ σου σοφίᾳ ἐδίωξας, τοῦ Ἀρείου Ἱεράρχα θαυμαστέ.

Φάνηθι κἀμοὶ, ταχινὸς Θεσπέσιε Προστάτης, καὶ πυρὸς παθῶν με ἐξάρπασον, ψυχοφθόρων, καὶ δολίων τῶν χειρῶν.

Χάριτας Χριστὸς, ἀμειβόμενος τὰς ἀρετάς σου, σοὶ πολυτελεῖς ἐχαρίσατο, σὲ θανόντα γὰρ ὡς ζῶντα συντηρεῖ.

Ψέλισμα τοὐμὸν, Ἱεράρχα δέχου αἰτησίως, τοῦ ἁμαρτωλοῦ, πάντων τε πιστῶν, προστρεχόντων τῷ τεμένει σου σοφέ.

Ὤκησας αὐλαῖς, Οὐρανῶν πανένδοξε ΣΠΥΡΙ'ΔΩΝ, καὶ Ἱεραρχῶν θεῖος ὅμιλος, σὲ προσδέχεται χορῷ τῷ ἑαυτοῦ.

Δόξα.

ΣΕ' Τριὰς Ἁγνὴ, καὶ Ὑπέρθεε, δοξολογοῦμεν, ῥῦσαι ταῖς πρεσβείαις Σπυρίδωνος, τοὺς πιστεύοντας εἰς σὲ πανευσεβῶς. Καὶ νῦν. Θεοτοκίον.

ΠΑ'νσεμνε Θεὸν, ἡ κυήσασα Παρθενομῆτορ, ὑπὲρ τῶν σῶν δούλων ἱκέτευε, σὲ τιμώντων καὶ ὃν ἔτεκες Υἱόν.

Καὶ πάλιν τὸ πρῶτον.

ἌΞιον ἐστὶ, μακαρίζειν σε τὸν Ἱεράρχην, Τριμυθοῦντος Θεῖον Σπυρίδωνα, καὶ Κερκύρας ἀντιλήπτορα θερμόν.

## ΣΤΑ'ΣΙΣ Γ'. πρὸς, Αἱ γενεαὶ πᾶσαι.

ΑἹ' γενεαὶ πᾶσαι, μακαρίζομέν σε, τὸν Θεῖον Ἱεράρχην.

Αἱ γενεαὶ πᾶσαι, σὲ μακαρίζομεν, Σπυρίδωνα τὸν μέγαν.

Ἡ' ἀκροστιχὶς κατ' Ἀλφάβητον.

ἌΡειον καθεῖλες, ἐν μέσῳ τῆς Συνόδου, σαῖς διδαχαῖς θεόπτα.

D Βλέ-

Βλέπεις τὴν Τριάδα, ἣν ἐν Κεραμίδι, ἐκήρυξας τοῖς πᾶσι.

Γῆ σε οὐ κατέχει, ἀλλὰ Πόλος Μοῦσα, καὶ Θεῖε Ἱεράρχα.

Δύναμις σοῦ λόγου, τὴν νεκρὰν ὡς ζῶσαν, ἔδειξε παραδόξως.

Ἔδειξεν Εἰρήνη, τὴν παρακαταθήκην, ποῦ ἣν καίπερ ἣν ἄπνους.

Ζῶσαν ἐπερωτᾷς, τεθνηκυῖαν Μάκαρ, ποῦ ἣν ἡ καταθήκη;

Ἤκουσε φωνῆς σου, ἐν ᾅδου ἡ Εἰρήνη, κἀκεῖθεν ἀπεκρίθη.

Θυμῷ ἀπηλέγξω, τὸν ἅρπαγα ὦ Πάτερ, αἰγὸς καὶ πλεονέκτην.

Ἰχῶρι καὶ ἕλκει, ἡ αἲξ ἀπετμήθη, τῆς μάνδρας τοῦ ἀδίκου.

Κύματα κατέσχες, τῶν ποταμῶν Τρισμάκαρ, μόνῳ τῷ φθέγματί σου.

Λύεις ἀφωνίαν, σὺ τοῦ ξενοδόχου, Σπυρίδων Διακόνου.

Μέλος τῶν Ἀγγέλων, ὅτε ἱερούργεις, ἠκούετο Τρισμάκαρ.

Νέμεις τὰς ἰάσεις, παντοδαπέσι νόσοις, Θαυματουργὲ Σπυρίδων.

Ξένως ὑπουργοῦσι, σοὶ Ἀγγέλων δῆμοι, ἐν ἕδραις Οὐρανίαις.

Ὄμβρους ἐν αὐχμώδει, γῇ κατάγεις Πάτερ, ἐξ Οὐρανοῦ σοῖς λόγοις.

Πῶς σε ἀνυμνήσω, ΣΠΥΡΙΔΩΝ κατ᾽ ἀξίαν, ὃν Ἄγγελοι ὑμνοῦσι;

Ῥήσεις σου αἱ θεῖαι, Ἀρείου τὰς ἀθέους, ἤμβλυναν φληναφίας.

Σῶμά σου κατέχει, ὡς θησαυρὸν καὶ πλοῦτον, ἡ Κερκυραίων Πόλις.

Τυφλοῦ μὲν ἐξ Ἑῴας, ὠμμάτωσας τὰς κόρας, Σπυρίδων παραδόξως.

Ὑπὸ τῶν πολλῶν μου, ἁμαρτιῶν προστρέχω, τῇ σκέπῃ σου τῇ Θείᾳ.

Φίλος ὢν Κυρίου, ἐφύλαξας Κερκύραν, ἐπιδρομῆς βαρβάρων.

Χά-



Χαίρειν σοι Τρισμάκαρ, οἱ διὰ σοῦ σωθέντες, νέμομεν κατὰ χρέος.

Ψάλλομεν προθύμως, τὰς εὐχαριστηρίους, ᾠδάς σοι Ἱεράρχα.

Ὤφθης θερμὸς ῥύστης, ἡμῶν ἐκ πάσης βλάβης, ψυχῶν τε καὶ σωμάτων.

Δόξα.

Τρισήλιε Θεέ μου, διὰ τοῦ Ἱεράρχου, δός μοι πταισμάτων λύσιν.

Καὶ νῦν. Θεοτοκίον.

Μῆτερ Θεοτόκε, ΣΠΥΡΙΔΩΝΟΣ ἐν μνήμῃ, μεσίτρια γενοῦ μοι.

Καὶ πάλιν τὸ πρῶτον.

Αἱ γενεαὶ πᾶσαι, μακαρίζομέν σε, τὸν Θεῖον Ἱεράρχην.

## ΕΥΛΟΓΗΤΑΡΙΑ εἰς ἦχον, πλ. α΄.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με Σπυρίδωνα ὑμνῆσαι.

Τῶν Ἀγγέλων τὰ πλήθη, καὶ χοροὶ τῶν ἀνθρώπων θαμβηθέντες βοῶσι· τοῦ θανάτου τὴν ἰσχύν, ὁ ΣΠΥΡΙΔΩΝ καθεῖλε. καὶ γὰρ ἐν τάφῳ ἐνεργεῖ τὰ θαύματα, καὶ ἐξ ἀπόντων ζῇ, ὡς ἀθάνατος.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με Σπυρίδωνα ὑμνῆσαι.

Τί δακρύων, ὀχετοὺς προχέετε οἱ πιστοὶ πρὸς Ἱεράρχην; Οὐρανόθεν τῶν Ἀγγέλων ὁ χορός, προσεφθέγξατο τοῖς Κερκυραίοις, ἴδετε αὐτὸν νῦν ἡμεῖς καὶ ἤθητε, ὥσπερ ζῶν μὲν γὰρ ὁρᾶται τῷ μνήματι.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με Σπυρίδωνα ὑμνῆσαι.

Λίαν θερμῶς, ὁ ΣΠΥΡΙΔΩΝ ἔδραμε πρὸς τὴν Σύνοδον τὴν ἐν Νικαίᾳ, καὶ ἔστη εὐθαρσῶς, πρὸς Ἄρειον καὶ εἶπε, μύθων ὁ καιρός, πέπαυται, ὦ ἄθεε, τὴν Τριάδα δὲ ὡς ἡμεῖς νῦν πίστευε.

 Εὐ-

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με Σπυρίδωνα ὑμνῆσαι.

Μυροθήκη Λειψανῶν, ὑπὲρ νάρδον ΣΠΥΡΙΔΩΝ, σοῦ θεσπέσιε εὐωδιάζει, Ἄγγελοι γὰρ πρὸς αὐτὸ ὑπουργοῦσι. τί οὖν ὡς νεκρὸν τὸν ζῶντα νομίζομεν; οὐ νεκρὸς γὰρ, ἀλλὰ ζῶν ἡμῖν δείκνυται. Δόξα.

Προσκυνοῦμεν Πατέρα, καὶ τὸν ἄχρονον Λόγον, ἐξ αὐτοῦ γεννηθέντα· καὶ Παράκλητον Θεῖον ἐκ Πατρὸς προελθόντα, καὶ σὺν τοῖς Ἀγγέλοις βοήσωμεν· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ Κύριε.

Καὶ νῦν. Θεοτοκίον.

Ζωοδότην γαστρί σου, Ἀειπάρθενε Κόρη, τὸν Υἱὸν καὶ Θεόν σου συλλαβοῦσα ἀφράστως, καὶ κυήσασα μόνη, ῥύσαντας ἡμᾶς ἔθνων πρὸς τὴν ζωὴν, μεσιτείαις ταῖς σαῖς πρὸς Θεὸν καὶ ἄνθρωπον.

Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα, Δόξα σοι ὁ Θεός.

ΤΕΛΟΣ, καὶ τῷ Θεῷ Δόξα.



# ἈΚΟΛΟΥΘΙ͂Α

ΤΟΥ͂ ἘΝ ἉΓΙ͂ΟΙΣ ΠΑΤΡῸΣ ἩΜΩ͂Ν

# ΣΠΥΡΙΔΩΝΟΣ

## ΤΟΥ͂ ΘΑΥΜΑΤΟΥΡΓΟΥ͂,

Ὑπὲρ τοῦ ἐν Κερκύρᾳ γεγονότος ὑπερφυοῦς Θαύματος κατὰ τῶν Ἀγαρηνῶν τῇ ια. τοῦ Αὐγούστου Μηνὸς, κατὰ τὸ χιλιοστὸν ἑπτακοσιοστὸν δέκατον ἔτος ἀπὸ Χριστοῦ.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

# ΤΩ͂Ι ἈΝΑΓΙΝΩ΄ΣΚΟΝΤΙ.

Τῶν εἰς τύπον φέρειν τὶ σπουδασάντων, δυοῖν θάτερον, ἢ τὸν γράψαντα, ἢ τὸ γραφόμενον εὐφημεῖσθαι ἀνάγκη. αὐτὸς δὲ διὰ τὸ ἄτερπνον τῆς ποιήσεως, καὶ τὸ τοῦ λόγου ἀσύνδετον, οὐδετέρου τούτων ἀντάξιον ἐμαυτὸν ἡγησάμην· εὐλαβείας γὰρ χάριν, καὶ οὔτινος ἐξωτέρου φρονήματος, τοῦ ποιήματος τούτου καθάψαι ἐπεμελήθην. εἰδ᾽ οὖν δοκεῖ τῷ Ἀναγινώσκοντι προσαρμόσαι τινὰ τῷ ποιήματι ἔπαινον, τοῦτο ἐκ τῆς τοῦ περιγραφομένου θαύματος μεγαλοπρεπείας λογιζέσθω. καὶ γὰρ τῆς τοῦ Αὐγούστου εἰκόνος ἐν μικρῷ διαγραφείσης κρυστάλλῳ, ὑπὸ Ῥώμης πάσης ὁ κρύσταλλος καὶ αὐτοῦ τοῦ χρυσίου ἐλογίσθη σεμνότερος. εἰδέ τι πλημμέλημα ἐν τῷ ῥυθμῷ τῆς ποιήσεως εὑρεθείη, ἐχέτω συγγνώμην. τοῦτο δὲ μόνον προσεκτέον, τὸ μετὰ πάσης εὐλαβείας τὴν Ἀκολουθίαν ἀναγινώσκειν.

Ἔρρωσο.





Τῇ ια΄. τοῦ Αὐγούστου Μηνός. Ἀνάμνησις τοῦ ἐν Κερκύρᾳ κατὰ Ἀγαρηνῶν θαύματος τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν

# ΣΠΥΡΙ΄ΔΩΝΟΣ

## ΤΟΥ͂ ΘΑΥΜΑΤΟΥΡΓΟΥ͂.

Ἑσπέρας ἐν τῷ μεγάλῳ Ἑσπερινῷ, μετὰ τὸν Προοιμιακόν, τὸ α΄. Ἀντίφ. τὸ Μακάριος ἀνήρ. εἰς δὲ τό, Κύριε ἐκέκραξα ἱστῶμ. στίχ. ς΄. καὶ ψάλλομεν τὰ παρόντα. Προσόμ. ἦχος, δ΄.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ἀγαθῶν τὸ ἀκρότατον, σὺ ΣΠΥΡΙ΄ΔΩΝ ἐπέγνωκας, ὃ καὶ κέντρον εἴληφας ἀξιάγαστε, ἀρθεὶς πυρὶ τῷ τοῦ Πνεύματος, ἐξ οὗ καὶ τῆς χάριτος, ἠξιώθης ὑπὲρ νοῦν. ἀλλ᾽ ἐν γῇ τὸ ἀείζωον, σῶμα ἔδωκας, ἐν τῇ Πόλει Κερκύρας ὃ διώκει, ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν παντοίων συστήματα.

Κερκυραίων τὸ καύχημα, σὲ Σπυρίδων γινώσκομεν, ἀσθενῶν παράκλησιν πνευματέμφορε, καὶ τῶν θαυμάτων πολύρροον, πηγὴν χαριτόβρυτον, νοσημάτων Ἰατρόν, τῶν ψυχῶν ἐπανόρθωσιν, καὶ στερέωμα. ἀσεβῶν καὶ βαρβάρων καταλύτην, τῶν τὴν Πόλιν σου φρονούντων, πολιορκεῖν ἀξιάγαστε.

Νοερῶς ἀπεδίωξας, Στόλον πάμπολυν Ἅγιε, Ἰσμαὴλ σὺν ἅπασι τοῖς στρατεύμασι, καὶ τοὺς δοκοῦντας αἰχμάλωτον, τὴν Πόλιν σου πάνσοφε, σὺν τῇ Ποίμνῃ σου λαβεῖν. καὶ ἐθραύθησαν ἄθλιοι αἰσχυνόμενοι, σὺν τοῖς ἅρμασιν, ἵπποι, ἀναβάταις, καὶ ἐρρύσω ἐκ πολέμου τοὺς σοὺς οἰκέτας πανόλβιε.

Δόξα, ἦχος, πλ. β΄.

Πῶς οὐκ ἔδεισε Ἱεράρχα ἀοίδιμε, σῶσαι ἡμᾶς ἐκ τῆς τῶν ἀλλοφύλων ἐπιδρομῆς, ῥυσάμενον ποτὲ ἐκ τῆς τοῦ λιμοῦ περιστάσεως; σὺ ὁ τυφλὸν ὀμματώσας, τυφλοὺς τοὺς βαρβάρους ἐδιω-

ἐδίωξας. σὺ ὁ νεκροὺς ἐξεγείρας, θανόντας τοὺς αἰθίοπας ἔδειξας. καὶ ὁ τὸν ὄφιν εἰς χρυσοῦν μετουσιώσας, τὴν ἡμῶν καρδίαν ταραττομένην εἰς χαρὰν μετέβαλες, Σπυρίδων Πατὴρ ἡμῶν, μὴ παύσῃ φυλάττειν πάσης ἀντικειμένης προσβολῆς τὴν Πόλιν σου ἄτρωτον. Καὶ νῦν. τῆς Ἑορτῆς.

Εἴσοδος. τὸ Φῶς ἱλαρὸν, τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα. Τῆς Ἐξόδου τὸ Ἀνάγνωσμα.

ΕΙπε Μωσῆς τῷ Ἰησοῦ. ἐπίλεξον σεαυτῷ ἄνδρας δυνατοὺς καὶ ἐξελθὼν παράταξαι τῷ Ἀμαλὴκ αὔριον· καὶ ἰδοὺ ἐγὼ ἕστηκα ἐπὶ τῆς κορυφῆς τοῦ βουνοῦ, καὶ ἡ ῥάβδος τοῦ Θεοῦ ἐν τῇ χειρί μου. καὶ ἐποίησεν Ἰησοῦς καθάπερ εἶπεν αὐτῷ Μωϋσῆς, καὶ ἐξελθὼν παρετάξατο τὸν Ἀμαλήκ. καὶ Μωϋσῆς, καὶ Ὢρ ἀνέβησαν ἐπὶ τὴν κορυφὴν τοῦ βουνοῦ. καὶ ἐγένετο ὅταν ἐπῆρε Μωϋσῆς τὰς χεῖρας αὐτοῦ κατίσχυεν Ἰσραήλ· ὅταν δὲ καθῆκε τὰς χεῖρας, κατίσχυεν Ἀμαλήκ. αἱ δὲ χεῖρες Μωϋσῆ βαρεῖαι. καὶ λαβόντες λίθον ὑπέθηκαν ὑπ' αὐτὸν, καὶ ἐκάθητο ἐπ' αὐτοῦ· καὶ Ἀαρὼν καὶ Ὢρ ἐστήριζον τὰς χεῖρας αὐτοῦ ἐντεῦθεν εἷς, καὶ ἐντεῦθεν εἷς· καὶ ἐγένοντο αἱ χεῖρες Μωϋσέως ἐστηριγμέναι ἕως δυσμῶν ἡλίου, καὶ ἐτρέψατο Ἰησοῦς τὸν Ἀμαλὴκ, καὶ πάντα τὸν λαὸν αὐτοῦ ἐν φόνῳ μαχαίρας. εἶπε δὲ Κύριος πρὸς Μωϋσῆν· κατάγραψον τοῦτο εἰς μνημόσυνον ἐν βιβλίῳ. καὶ δὸς εἰς τὰ ὦτα Ἰησοῦ, ὅτι ἀλοιφῇ ἐξαλείψω τὸ μνημόσυνον Ἀμαλὴκ ἐκ τῆς ὑπὸ τὸν οὐρανόν. καὶ ᾠκοδόμησε Μωϋσῆς θυσιαστήριον τῷ Κυρίῳ· καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ, Κύριός μου καταφυγή. ὅτι ἐν χειρὶ κρυφαίᾳ πολεμεῖ Κύριος ἐπὶ Ἀμαλὴκ ἀπὸ γενεῶν εἰς γενεάς.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

ΤΑδε λέγει Κύριος, ἐξ Ἱερουσαλὴμ ἐξελεύσονται οἱ καταλελειμμένοι, καὶ οἱ σωζόμενοι ἐξ ὄρους Σιών. ὁ ζῆλος Κυρίου Σαβαὼθ ποιήσει ταῦτα. διὰ τοῦτο οὕτω λέγει Κύριος ἐπὶ Βασιλέα Ἀσσυρίων· οὐ μὴ εἰσέλθῃ εἰς τὴν πόλιν ταύτην, οὐδὲ μὴ βάλῃ ἐπ' αὐτὴν βέλος, οὐδὲ μὴ ἐπιβάλῃ ἐπ' αὐτὴν θυρεὸν, οὐδὲ μὴ κυκλώσῃ ἐπ' αὐτὴν χάρακα, ἀλλὰ τῇ ὁδῷ ᾗ ἦλθεν, ὑπ-

αὐ-



αὐτῇ ἀποστραφήσεται, καὶ εἰς τὴν πόλιν ταύτην οὐ μὴ εἰσέλθῃ. τάδε λέγει Κύριος· ὑπερασπιῶ ὑπὲρ τῆς πόλεως ταύτης τοῦ σῶσαι αὐτὴν δι' ἐμὲ, καὶ διὰ Δαβὶδ τὸν παῖδά μου. καὶ ἐξῆλθεν Ἄγγελος Κυρίου, καὶ ἀνεῖλεν ἐκ τῆς παρεμβολῆς τῶν Ἀσσυρίων ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας, καὶ ἀναστάντες τὸ πρωῒ εὗρον πάντα τὰ σώματα νεκρά. καὶ ἀπῆλθεν ἀποστραφεὶς, καὶ ἀπέστρεψε Σενναχειρεὶμ βασιλεὺς Ἀσσυρίων, καὶ ᾤκησεν ἐν Νινευΐ. καὶ ἐν τῷ αὐτὸν προσκυνεῖν ἐν τῷ οἴκῳ Νασαρὰχ Θεοῦ αὐτοῦ, Ἀδραμέλεχ, καὶ Σαρασὰρ οἱ Υἱοὶ αὐτοῦ ἐπάταξαν αὐτὸν μαχαίραις, αὐτοὶ δὲ διεσώθησαν εἰς Ἀρμενίαν, καὶ ἐβασίλευσεν Ἀσορδὰν ὁ Υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

ΔΙκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ ὑψίστῳ. διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτοὺς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα. ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν, συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι· ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαίλαψ ἐκλικμήσει αὐτούς· καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. ἀκούσατε οὖν Βασιλεῖς καὶ συνέτε, μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν, ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ ὑψίστου.

Εἰς τὴν Λιτήν, Ἰδιόμ. ἦχος, β΄.

ΤΑῖς ἀρεταῖς διαπρέψας ΣΠΥΡΙΔΩΝ πανένδοξε, ἐν βίῳ οὐρανίων ἐφρόνεις, τῶν φθαρτῶν καὶ γηΐνων ἀμελήσας, Ἀρχιερωσύνης τὸ σέφος ἀναλαβών, γενναιοτάτως ὑπὲρ τοῦ σοῦ ἐνήθλησας ποιμνίου. μὴ τῆς ψυχῆς σου φεισάμενος ὑπὲρ τῶν σῶν προβάτων ἀείμνηστε. Ὅμοιον.

Ἀρχιερέων καλλονή, σῶμα σὸν ζωηφόρον Κερκύρα ἐκτήσατο. καὶ αὐτή σοι χαίρει τὰς ἰάσεις λαμβάνουσα, καὶ τὰ παράδοξα τῶν θαυμάτων κηρύττουσα. ὡς ἀνδρεικὸς γὰρ ἀντέστης τῶν ἐχθρῶν τῆς ἀσεβείας ἀήττητε. Ὅμοιον.

Τὰς ἀρετὰς ἐποιήσω τρισόλβιε, βαθμοὺς πρὸς λῆξιν οὐράνιον. Χριστὸς δέ σε μάκαρ τῷ τῆς Ἀρχιερωσύνης θρόνῳ ἀνεβίβασε. Τριμυθοῦντος Ποιμένα ἀξίως δεικνύων σε. νῦν δὲ τὸ σὸν ζωοπάροχον σκῆνος, θεόσδοτον δῶρον ἡ Κερκύρα θαυμάζεται, καὶ ἐν τοῖς ὑπερφυέσι θαύμασι καθ' ἑκάστην ἀγάλλεται, ὕμνους σοὶ τῷ λυτρωτῇ ἡμῶν παννυχίους ἐκπέμπουσα. Δόξα, ἦχος, δ΄.

ΤΊς σοι κατ' ἀξίαν τοὺς αἴνους προσφέρει, ΣΠΥΡΙΔΩΝ θαυμάσιε; ἢ τίς τῶν θαυμάτων σου σεμνῶς διηγήσεται; ἔπρεψας ἐν τῷ βίῳ ἀγγελικῶς ἐκβιώσας· ἄγρυπνος μετὰ πότμον τοὺς Πιστοὺς περισκέπεις. χαίρει Νίκαια τροπαιοῦχον Αἱρετικῶν σε δοξάζουσα, χαίρει Κερκύρα ὀλετῆρα Ἰσμαηλιτῶν σε γνωρίζουσα. τίς γὰρ ἀόπλοις χερσὶν ἀπώσατο τοὺς βαρβάρους; ΣΠΥΡΙΔΩΝ ὁ τῆς Νήσου φρουρός, καὶ τοῦ Χριστοῦ Ἱεράρχης γνήσιος. ᾧ καὶ πρεσβεύει δωρηθῆναι τῇ τῶν Πιστῶν πολιτείᾳ εἰρήνην καὶ ἔλεος. Καὶ νῦν, τῆς Ἑορτῆς.

Εἰς τὸν στ. στιχ. Προσόμ. ἦχος, α΄. Τῶν οὐρανίων ταγμάτων.

ἘΝ ταῖς τοῦ Πνεύματος θείαις, λελαμπρυσμένος αὐγαῖς, σαφῶς ἀνακηρύττεις, τῶν θαυμάτων τὰ ξένα, τὴν δύναμιν τοῦ λόγου διατρανῶν, ἐν τοῖς ἔθνεσι σήμερον, τοὺς ἐν βυθῷ ἀσεβείας ἀποσοβῶν, περισκέπεις τὸ σὸν ποίμνιον.

Στίχ. Οἱ Ἱερεῖς σου Κύριε ἐνδύσονται.

ΣΥ τοῖς τοῦ Πνεύματος ὅπλοις, ὑπερμαχήσας σοφέ, ἀπε-

διώ-



διώξω Ἄγαρ, τοὺς υἱοὺς τοὺς αὐθάδεις. θεῖον δὲ στρατιώτην καὶ στερεόν, τῆς Κερκύρας ἀδάμαντα, καὶ θεοκήρυκα ἅμα τῶν τοῦ Χριστοῦ, θαυμασίων σε δοξάζομεν. Μακάριος ἀνὴρ ὁ φοβούμενος.

ΧΑρίτων Πάτερ ἀρρήτων, γέγονας ἔμπλεως, σοῦ γὰρ τὸ θεῖον σκῆνος, ἐπιχέει χειμάρρους, μάκαρ παραδόξως τὰ τῶν ἐχθρῶν, καταπνίγων συστήματα. τῶν δὲ πιστῶν τὰς καρδίας φωταγωγεῖ, ταῖς ἐμπνεύσεσι τῆς χάριτος. Δόξα, ἦχος πλ. δ΄.

ΤΗν Πνευματικὴν ὁπλισάμενος μάχαιραν ὁ μέγας τῶν Κερκυραίων στρατηγός, τῶν τῆς Ἄγαρ παίδων τὸ κράτος διέλυσε, καὶ τὸν Πιστὸν λαὸν ὡς ποιμὴν ἀληθινὸς διεσώσατο. διὸ καὶ νικητὴν ἀνέδειξε τροπαιοῦχον, εἰς πᾶσαν τὴν οἰκουμένην διαδραμὼν ὁ φθόγγος τοῦ θαύματος. ὑπὸ δὲ πάντων δεχόμενος τὰ βραβεῖα, ἐν ὕμνοις καθ' ἑκάστην γεραίρεται, πρεσβεύων ἀπαύστως ὑπὲρ τῆς Ποίμνης αὐτοῦ ὁ θαυμάσιος.

Καὶ νῦν, τῆς Ἑορτῆς. Τροπάριον, ἦχος, δ΄.

ὩΣ τῶν Ὀρθοδόξων ὑπέρμαχον, καὶ πάντων τῶν ἀπίστων ἀντίπαλον, παμμακάριστε Σπυρίδων ὑμνοῦμέν σε, καὶ δυσωποῦμέν σε, φυλάττειν τὴν Πόλιν σου, πάσης ὁρμῆς βαρβάρων ἀμέτοχον. Καὶ τῆς Ἑορτῆς.

Ἐν τῷ Ὄρθρῳ. Μετὰ τὸ Θεὸς Κύριος, τὸ Τροπάριον τοῦ Ἁγίου καὶ τῆς Ἑορτῆς. μετὰ δὲ τὴν α΄. στιχ. καθ. ἦχος, α΄.

Τὸν τάφον σου Σωτήρ.

ὩΣ φοίνιξ ἀληθῶς, σὺ ὑπάρχεις τρισμάκαρ, τῶν χρόνων τῷ πυρί, μὴ βλαφθεὶς θαυμασίως. ὡς κέδρος δὲ διήνθησας, ἐν Κερκύρᾳ μακάριε, τοῖς σοῖς θαύμασι ψυχὴν ὑμῶν περισκέπων· ὁ νεκρῶσαν μέν, ἔμπνουν ζωῇ προσενέγκας, ΣΠΥΡΙΔΩΝ ἀείμνηστε.

Δόξα, τὸ αὐτό. Καὶ νῦν, τῆς Ἑορτῆς.

Μετὰ τὴν β΄. στιχ. καθ. Ὅμοιον.

ΔΟχεῖον καθαρόν, τῆς τοῦ Πνεύματος αἴγλης, Παμμάκαρ ἀληθῶς, ἀνεδείχθης καὶ πᾶσαν, τῶν ἐχθρῶν τὴν ὠμότητα, ὁρατῶν τε κατέθραυσας, ὅθεν ἅπαντας, τοὺς

τῶν

τῶν θαυμάτων τὴν μνήμην, ἐκτελοῦντάς σου, πάσης ἐχθρῶν ἐπηρείας, σῶζε πανθαύμαστε.

Δόξα, τὸ αὐτό. Καὶ νῦν, τῆς Ἑορτῆς.

Μετὰ τὸν Πολυέλεον Κάθισμα, ἦχος, δ'.

Κατεπλάγη Ἰωσήφ.

Ἑορτάσωμεν φαιδρῶς, Θεῖον Ποιμένα καὶ σεπτόν. ἄγει γὰρ χαρὰν, τῶν ὀρθοδόξων ὁ χορὸς, ἀπαλλαχθεὶς παραδόξως ἐκ τῶν κινδύνων. ἀγάλλεται λαμπρῶς, Πόλις Κερκύρας καὶ σκιρτᾷ, κομπάζουσα σεμνῶς, τοῦ Ἱεράρχου ταῖς λιταῖς, καὶ προσιόντες χαίρουσι. καμάτων καὶ νοσημάτων, καὶ συμφορῶν, λάρνακι Θείᾳ, ἐκδυσωποῦντες, ἐκ τῶν θαυμάτων τὴν λύτρωσιν.

Δόξα τὸ αὐτό. Καὶ νῦν, τῆς Ἑορτῆς.

Οἱ Ἀναβαθμοί. τὸ α'. Ἀντίφ. τοῦ δ'. ἤχου. Προκείμ. Τίμιος ἐναντίον Κυρίου. Στ. Τί ἀνταποδώσομεν. τὸ Πᾶσα πνοή.

Εὐαγγέλιον εἰς Ἱεράρχ. καὶ ὁ Ν'. Δόξα. Ταῖς τοῦ Ἱεράρχου. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Ἐλέησόν με ὁ Θεός. καὶ τὸ παρὸν Ἰδιόμελον, ἦχος, πλ. α'.

Θησαυρὸν ἀσύλητον ἔδωκας ἡμῖν ΣΠΥΡΙΔΩΝ μακάριε. καὶ δῶρον ἔνθεον σῶμα σὸν ζωηφόρον. θαύματα βρύει ἑκάστοτε, τοῖς πίστει τῷ Ναῷ σου προστρέχουσι, καὶ τὰς νόσους διώκον ψυχῶν καὶ σωμάτων, τοῖς ὀρθοδόξοις παρέχει παντοῖα δωρήματα. Χριστὸν τὸν Θεὸν ἱκέτευε Πατὴρ ἡμῶν, ἡμῖν τοῖς ἄμετρα πταίουσιν, ἱλασμὸν δοῦναι καὶ ἄφεσιν.

Εἶτα οἱ Κανόνες τῆς Ἑορτῆς. Καὶ τοῦ Ἁγίου.

Ὠδὴ, α'. ἦχος, β'. Δεῦτε λαοί.

Σὲ τὴν ἡμῶν, ἀκαταμάχητον δύναμιν, καθικετεύω πάνσοφε. τὴν μολυνθεῖσάν μου πονηραῖς διανοίαις, ἀπόσμιξον καρδίαν, ὅπως ὑμνήσω σε.

Πάντες πιστοὶ, Σὲ βοηθὸν ἀπροσμάχητον, καὶ προστάτην κεκτήμεθα, καὶ φρουρὸν ἄμαχον, καὶ πρέσβυν ΣΠΥΡΙΔΩΝ θερμότατον, ὅθεν σὲ ἀξίως γεραίρομεν.

Θαῦμα τὸ σὸν, ἡ Κερκύρα τεθαύμασαι, Ἰσμαηλίτην βλέ-



βλέπουσα, ὡς ψάμμον παράλιον, κακῶς δὲ ἀπολελυμένον, τῷ ξίφει τῆς πρεσβείας σου ἐξήγαγες. Θεοτοκίον.

Μόνη Θεὸν, πᾶσι τὸν ὄντα ἀχώρητον, Σοὶ χωρητὸν γενόμενον, δι' ἀγαθότητα, ἀπεκύησας Κόρη, ὃν αἴτησαι σωθῆναι, τοὺς ἐν πίστει καὶ πόθῳ ἀνυμνοῦντάς σε.

Καταβ. Σταυρὸν χαράξας. Ὠδὴ, γ'. Ἐν πέτρᾳ με.

Θηρὸς ὁ τὴν φύσιν μεταποιήσας, πενίας τὸν αἰτοῦντα θέλων λυτρῶσαι, θῆκα τὰ τῆς Ἀγαρηνῶν ἀπεκρούσω. αἰχμαλωσίας δὲ, καὶ πικροῦ θανάτου, τοὺς σὲ προσκαλουμένους διέσωσας.

Ἐν πόντῳ Σὲ γινώσκομεν εὐεργέτην, τοῖς θαύμασι τοῖς σοῖς ἀφορῶντες. τὰ φῦλα δ' ἀπιστήσαντα τῶν βαρβάρων, καταποντούμενα ἔφυγον. ἡμεῖς δέ σε Πάτερ σωτῆρα κηρύττομεν.

Πηλὸν ἀποσφίγξας τῇ δεξιᾷ σου, τοῦ πλάσαντος τὸν ἄνθρωπον ἐπενόεις, τριμόρφου ἀγλαΐας τὸ ἑνιαῖον, Σύνοδος δὲ Θεὸν τὸν Υἱὸν, καὶ οὐ κτίσμα τοῖς ὀρθοδόξοις ἐκήρυξεν. Θεοτοκίον.

Τὰ πάθη τῶν ψυχῶν ἡμῶν καὶ σωμάτων, Ἰάτρευσον πανύμνητε καὶ βαδίζειν, τὰς τρίβους κατευόδωσον τὰς φερούσας, πρὸς τὴν ἀπόλαυσιν, καὶ τρυφὴν τὴν ἄρρευστον καὶ ἀνώλεθρον.

Καταβ. Ῥάβδος εἰς τύπον. Κάθ. ἦχος, γ'. Θείας πίστεως.

Λύχνον ἄσβεστον ἡ Ἐκκλησία, λίθον τίμιον τῶν Κερκυραίων, Πόλις παμμάκαρ ΣΠΥΡΙΔΩΝ ἐδέξατο. καὶ διαυγάσας ἡλίου λαμπρότερον, τὰ τῶν ἀπίστων ἀπήμβλυνας ὄμματα, ἐξήγαγες, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸν θεῖον ἔλεος. Δόξα, τὸ αὐτό.

Καὶ νῦν, τῆς Ἑορτῆς. Ὠδὴ, δ'. Ἐλήλυθας.

Σκιρτήσατε, τῶν πιστῶν οἱ χοροὶ, καὶ βοήσατε, γῆ μὲν καὶ οὐρανοὶ εὐφρανέσθωσαν. σκεῦος γὰρ τὸ ἅγιον, τοῦ Ἱεράρχου χαρίζεται, τοῖς προστρέχουσι πίστει, φωτισμὸν καὶ ἀντίληψιν.

Ὁ Ἀβραὰμ, λειτουργὸς τῶν Ἀγγέλων λελόγισται, ἀλλὰ Σὺ θαυμάσιε τοὺς Ἀγγέλους λειτουργοὺς ἔσχες ἐν λιταῖς καὶ ὁμοσκήνους, διὸ καὶ τῶν Ἀγγέλων ὁμοδίαιτος γέγονας πάνσοφε.

Οὐκ εὐδοκεῖ, ἐν τῇ δυνάμει ἵππου καὶ ἄρχοντος. θαυμαστὸς δὲ ὁ Κύ-

Κύριος τῶν στρατευμάτων, ἐπὶ τοὺς φοβουμένους αὐτοῦ τὸ ὄνομα· διὸ καὶ ἔσωσεν ἐν Σοὶ τὴν ποίμνην σου Ἅγιε. Θεοτοκίον.

Ἐλέησον, ἐλεήμονος Λόγου λοχεύτρια, τὸν ἀνελεήμονα καὶ τοῦ ἐλέους ἀνάξιον, ἐμαυτὸν ποιήσαντα, ὡς τὰς ἐντολὰς τοῦ Δεσπότου ἁπάσας ἀμελήσαντα.

Καταβ. Εἰσακήκοα Κύριε. Ὠδὴ, ε'. Ὁ φωτισμός.

Ὁ Μωϋσῆς, ἀνορθούμενος χεῖρας ἐπὶ τῷ ὕψει, πανστρατὶ τὸν Ἀμαλὴκ ἀνετρόπωσεν. αὐτὸς δὲ τῷ ἰδίῳ βραχίονι, πλῆθος Ἰσμαὴλ καταδαφίσας, καὶ τὸν σὸν λαὸν ΣΠΥΡΙΔΩΝ διέσωσας.

Ὁ Ἰσραὴλ, τὴν ἐρυθρὰν ἀβρόχως διέβηκε, ποταμοῦ δὲ νάματα σὺ ἀπεξήρανας, τῇ προσευχῇ σου, ὅρους ὑπερβαίνοντα φύσεως. ὅθεν διέδραμες ἀνίκμοις τοῖς ποσὶ πολυθαύμαστε.

Θαυματουργῶν, κατήγαγες ὄμβρους εἰς ξηρασίαν, τὴν στερωθεῖσαν γῆν καρποφόρον ἀναδεικνύων, τὴν ψυχήν μου νῦν διψῶσαν ἀνάψυξον, τῇ δρόσῳ τῆς χάριτος, καὶ ἀειθαλῆ τῶν ἀρετῶν λειμῶνα ἀνάδειξον. Θεοτοκίον.

Τῆς σῆς ἐκτὸς, βοηθείας Παρθένε καὶ συνεργείας, μάταιος ὁ πόνος, κενὸς ὁ κόπος ὁ τῶν ἀνθρώπων, ὁ ἱδρὼς καὶ ὁ μόχθος, καὶ ὁ σύμπας ἀγὼν ἀνίσχυρος. ὅθεν μοι ποθοῦντι σωθῆναι συνέργησον. Καταβασία.

Ὦ Τρισμακάριστον. Ὠδὴ, ς'. Ἐν ἀβύσσῳ.

Ἐπὶ Σὲ καταφεύγομεν πάνσοφε, τὴν ἀκαταμάχητον τῆς βοηθείας σου, ἐπικαλούμενοι δύναμιν, ἐξ ἐχθρῶν ἡμᾶς παντοίων, καὶ κινδύνων διάσωσον.

Ἐν τῷ Ναῷ σου τὸ σκῆνός σου σέβοντες, τῶν θαυμάτων τῶν σῶν ἐμπιπλάμεθα, καὶ ἐπὶ σὲ καταφεύγοντες, τὰς ἰάσεις τῶν ψυχῶν καὶ σωμάτων λαμβάνομεν.

Τοὺς σοφοὺς ἐν Νικαίᾳ κατέπτηξας, καὶ Ἰσμαηλίτας ἐν Κερκύρᾳ κατέθραυσας, ἐν ξηρᾷ καὶ ὑγρᾷ συντριβόμενοι, καὶ τραυματίαι ἀθλίως γενόμενοι. Θεοτοκίον.

Τὴν πολλήν μου γινώσκεις ἀσθένειαν, καὶ τὴν ῥαθυμίαν

ἐπί-



ἐπίστασαι Δέσποινα, ὡς οἶδας αὐτὴ σῶσόν με, καὶ ὡς θέλεις γεέννης με λύτρωσαι. Καταβασία.

Νοτίου Θηρός. Κοντάκ. ἦχος, πλ. δ'. Τῇ ὑπερμάχῳ.

Τῷ τῆς Κερκύρας λυτρωτῇ νῦν ὑπανοίγομεν, ὡς τροπαιούχῳ νικητῇ τὰ αἰσθητήρια, ἀνακράζοντες οἱ δοῦλοί σου Θεοφόρε, σοὶ τῷ ἔχοντι ἀεὶ τὸ ἀσυμπάθητον. ἐκ βαρβάρων ὦ ΣΠΥΡΙΔΩΝ περιφρούρησον, τοὺς κραυγάζοντας, χαίροις Πάτερ ἀήττητε. Ὁ Οἶκος.

Ἄγγελον ἡ Κερκύρα ὑπεδέξατο Πάτερ, σῶμα σὸν Ἱεράρχα τὸ Θεῖον. ἐν δὲ τῇ ὑποστάσει σαρκὸς, ἀθανατούμενόν σε θαυμαστῶς βλέπουσα, ἐξίσταται καὶ ἵσταται βοῶσα πρὸς σὲ τοιαῦτα.
Χαίροις ἀδάμας τῆς Ἐκκλησίας. χαίροις τὸ σέλας τῆς εὐσεβείας.

Χαίροις Κερκύρας θεοφρούρητον τεῖχος.
Χαίροις πολεμουμένων κραταιότατον ξίφος.
Χαίροις ἀνδρείας θεότερπνον ἄγαλμα.
Χαίροις σωφροσύνης οὐρανόσδοτον ἔρεισμα.
Χαίροις ὀρθοδοξίας ἀδιάσειστος Στύλος.
Χαίροις Χριστοῦ γνησιώτατος φίλος.
Χαίροις κοινῶν πρακτικῆς ἐμπειρίας.
Χαίροις λαμπτὴρ εὐσεβοῦς Θεωρίας.
Χαίροις τῶν θηρίων ὁρατῶν καθαιρέτης.
Χαίροις τῶν θηρίων ἀοράτων ὀλέτης.
Χαίροις Πάτερ ἀήττητε.

Μηνὶ Αὐγούστῳ ια'. Τὴν Ἀνάμνησιν ἑορτάζομεν τοῦ ἐν Κερκύρᾳ ὑπερφυοῦς καὶ τῶν Ἀγαρηνῶν Θαύματος τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν ΣΠΥΡΙΔΩΝΟΣ τοῦ Θαυματουργοῦ.

Ἔρρηξε Παῖδας στρατιᾶς ἀλλοφύλων
Πόλιν τ' ἔσωσε Κερκύρας ὁ Προστάτης.

Ἐν τοῖς ὑπερφυέσι τοῦ ἡμετέρου ποιμένος, καὶ Θαυματουργοῦντος ΣΠΥΡΙΔΩΝΟΣ θαύμασι, μέγα τῷ ὄντι καὶ ἐξαί-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ἐξαίρετον τὸ κατὰ Ἀγαρηνῶν τερατούργημα ἡ Κερκύρα θαυμάζεται, καὶ λαμπρᾷ τῇ φωνῇ ἀνακηρύττει τὸ παράδοξον. ἔχει δὲ ἡ ὑπόθεσις οὕτως. πολέμου μὲν ἤδη καὶ μάχης μεταξὺ Ἐνετῶν καὶ Ἰσμαηλιτῶν τυγχάνοντος μετὰ τῆς Πελοποννήσου τὴν ἅλωσιν, ἔδοξε τῇ Ἀγαρηνῶν εὐτολμίᾳ καὶ τὴν Κερκύραν αἰχμάλωτον καταστῆσαι. ἰδοὺ μὲν οὖν κατὰ τὸ χιλιοστὸν ἑπτακοσιοστὸν δέκατον ἕκτον ἔτος σωτήριον ἐν Μηνὶ Ἰουνίῳ τετάρτῃ καὶ εἰκοστῇ στόλος Ἰσμαηλιτῶν, Νηῶν καὶ τριήρεων οὐκ ὀλίγος τὸν ἀριθμὸν ἐν τῷ λιμένι τῆς Πόλεως. ἐξ οὗ θάμβους ἦν τοὺς Πολίτας ἐν τῷ ἀπροσδοκήτῳ δεινῷ πεπλησμένους θεάσασθαι. στρατιᾶς δὲ πολυαρίθμου ἐπὶ τῇ Νήσῳ ἐξελθούσης, πολιορκεῖν αὐτὴν καὶ τὴν Πόλιν διὰ ξηρᾶς καὶ θαλάσσης ἐπέγνωσαν. πολέμου δὲ βαρβαρικοῦ ἀρξαμένου ἐν πυρὶ καὶ σιδήρῳ, τήν τε Πόλιν καὶ τοὺς Πολίτας κατέθλιβον. ἀνὰ μὲν οὖν πεντήκοντα ἡμέρας σφοδρᾶς ἐπικρατούσης τῆς μάχης, ἐπὶ τὸ ἄστυ Κερκύρας τῶν βαρβάρων ἡ δύναμις ἐπανελθεῖν ἐβουλεύσατο. στεναγμοῖς τοίνυν καὶ δάκρυσιν ἐν νυκτὶ καὶ ἡμέρᾳ τῶν ὀρθοδόξων τὰ πλήθη τὸν Ἱεράρχην ἱκέτευον. ὅθεν τὰ τῶν Ἀγαρηνῶν στρατεύματα ἐν μιᾷ τῶν ἡμερῶν ἐπανελθόντα ἐπὶ τὸ ἀκρότειχον τοῦ Ἄστεος, μετ᾽ οὐ πολὺ οὐκ ὀλίγοι ἐξ αὐτῶν κακοὶ κακῶς ἀπώλοντο, τοῦ ἡμετέρου Ἱεράρχου ταῖς πρεσβείαις ἀποσκορακισθέντες οἱ ἄθλιοι. τούτου μέντοι οὕτως διακειμένου μείζονος σκληρότητος, καὶ ἀπανθρώπου φόνου ἔπνεον τῶν βαρβάρων αἱ χεῖρες, ἀπειλὰς τῇ κακίᾳ προσάπτοντες, ἐπιδρομὴν ἑτέραν καὶ πανώλεθρον αἰχμαλωσίαν, καὶ θάνατον τῇ πόλει ἐπαπειλοῦντες. δεήσεις δὲ καὶ προσευχαὶ ἐκ τῶν Πιστῶν οὐκ ἐξέλιπον· τὸν Θαυματουργὸν ἐπικαλουμένων τε, καὶ παννυχὶ ἐπιδεομένων. ἔνθα τέως τῶν Κερκυραίων παντελῆ ἀπώλειαν ἐκ τῶν Βαρβάρων προσκαρτερούντων, ἐν μιᾷ τῶν ἡμερῶν ὄρθρου βαθέως ὀπτάνεται τοῖς ὑπεναντίοις ὁ μέγας Πατὴρ ἡμῶν ΣΠΥΡΙΔΩΝ μετὰ πλήθους στρατιᾶς οὐρανίου, καὶ ἀστραπόμορφον ξίφος ἐπέχων, τούτους σπουδαίως καὶ μετὰ θυμοῦ ἀπεδίωκεν. τῶν μὲν οὖν στρατιωτῶν τῆς Ἰσμαὴλ δυνάμεως τοιοῦτον παρά-



παράδοξον ἑωρακότων, ἄφνω ἐς φυγὴν ἀνετράπησαν, καὶ ἀλλήλους ὠθούμενοι, ἐξέστησαν ἀορασίᾳ τραυματίαι γενόμενοι. ἔφυγον οὖν καὶ συνετρίβησαν ἐκλυθέντες τῷ φόβῳ ἄνευ πολέμου, ἢ πυρός, ἢ μαχαίρας, ἤ τινος διώκοντος, τοῦ Θαυματουργοῦ δὲ μόνου ΣΠΥΡΙΔΩΝΟΣ ἀοράτῳ δυνάμει τούτους ἀνατρέψαντος, καὶ ἐκ τῆς Νήσου ἀποβαλόντος. ἐν ᾧ δὲ ἀπεδίδρασκε πεζῶν τε καὶ Ἱππέων τὰ στρατεύματα, ἀπῆρε καὶ ὁ στόλος αὐτῶν κραταιᾷ τοῦ Ἱεράρχου δυνάμει, ἐλευθέρας μενούσης τῆς Κερκύρας. ἡμέρας τοίνυν διαυγαζούσης, καὶ τῶν Πολιτῶν τὴν συνήθη ἐλπιζόντων μάχην, οὐδὲν ἦν ἰδεῖν, εἰμὴ σιωπήν, καὶ ἀσχόλειαν. περίεργοι γοῦν, καὶ μετὰ ἐπιπολαίου χαρᾶς ἐπὶ τὰς σκηνὰς τῶν ἀντιπάλων γενόμενοι, τὸ ὑπὲρ νοῦν θαῦμα τοῖς πᾶσι γνωρίζεται, καὶ μετὰ πάσης εὐφροσύνης σκιρτῶντες ἠγάλλοντο ἐπὶ τὸ κενὸν καὶ παράδοξον. ἔβλεπον γὰρ οὐ μόνον φυγάδας τοὺς Ἰσμαηλίτας, ἀλλὰ καὶ τὰ ἐπ᾽ αὐτοῖς πάντα καταλιπόντας προενόμευσαν. οἵτινες καὶ ἐν τῷ φεύγειν ἀναφανδὸν ὡμολόγουν, ὑπὸ σεβασμίου τινὸς Μοναχοῦ, δηλαδὴ τοῦ ΣΠΥΡΙΔΩΝΟΣ, σὺν εὐκλεεῖ οὐρανίου στρατιᾶς στόλῳ ἀναφανέντος ἐπὶ τὸν αἰθέρα, πρὸς φυγὴν ταχυτάτην ἑαυτοὺς κατεπείγεσθαι· ἔδραμον δὲ μετ᾽ αἰδοῦς καὶ εὐλαβείας, δόξαν καὶ εὐχαριστήρια ᾄσματα τῷ θαυματουργήσαντι Ἱεράρχῃ ἀπονέμοντες. Ὅνπερ καὶ ἡ Γαληνοτάτη Θεοφρούρητος τῶν Ἐνετῶν Ἀριστοκρατεία Ῥύστην τῆς Νήσου, καὶ τῶν Φιλοχρίστων ὅπλων Ὑπερασπιστὴν ἐπιγινώσκουσά τε καὶ ἀνακηρύττουσα, λιταῖς καὶ ὑμνῳδίαις εὐχαρίστως ἐδοξολόγησε. μᾶλλον δὲ πρὸς ἀθάνατον εὐλαβείας, καὶ εὐγνωμοσύνης τεκμήριον, ἀργυρᾶν Κανδήλαν πολυτελῶς, καὶ εὐδαιδάλως κατασκευάσασα, τῷ Ἱερῷ αὐτοῦ τεμένει ἀνέθετο. ταῖς τοῦ ἡμετέρου Ποιμένος καὶ Προστάτου πρεσβείαις ὁ Θεὸς ἐλέησον ἡμᾶς. ἈΜΗΝ.

Ὠδὴ, ζ΄. Εἰκόνος χρυσῆς.

ΕἸς σὲ τῆς ἐμῆς, ἀνατίθημι ψυχῆς ὀφθαλμοὺς Πάτερ. καὶ ἀτενίσας προσδέχομαι, τὴν κραταιάν σου βοήθειαν. πρά-

προφθάσον σοφὲ Ἱεράρχα, καὶ εὐόδωσον τρίβους μοι, διαβιβάζουσας πρὸς λῆξιν οὐράνιον.

Νεκρὰν εἰς ζωήν, ὡς ἐξ ὕπνου ἐνεγκὼν μετ᾽ ἐξουσίας, καὶ ἰοβόλον μὴ πτοούμενος, ἐκ βίου φέρεις εἰς θάνατον, ὄφιν πάνσοφε παλαμναῖον. διὸ ἐν τούτῳ ἐγνώσθη σου λαμπροτέρα χρυσίου ἡ διάθεσις.

Ἀθῴως χερσί, καθαρὸς δὲ σὺ σοφὲ τῇ διανοίᾳ, ἀνελήλυθας εἰς ὄρος Κυρίου, καὶ ἔστης ἐν τόπῳ ἁγίῳ, ταῖς ἀΰλοις Ἱεραρχίαις, συναυλιζόμενος πάνσοφε, ἀθανάτῳ ἐντρυφῶν μακαριότητι. Θεοτοκίον.

Ἐρρύσω ἡμᾶς, κατακρίσεως δεινῆς ἀμπλακημάτων, καὶ τὴν ἀρχαίαν λύπην ἔλυσας, τῶν πρωτοπλάστων πανύμνητε. τὸν δημιουργὸν τῶν ἁπάντων, ὑπὲρ φύσιν κυήσασα, διὸ ἀξίως οἱ πιστοὶ σὲ μακαρίζομεν.

Καταβασία. Ἔκνοον πρόσταγμα.

Ὠδὴ, η΄. Κάμινος ποτέ.

ΝΟσους τῆς ἐμῆς, ἰάτρευσον ἀνοίας, φύσει γὰρ κέκτησαι πάνσοφε, τὸ ἀσυμπάθητον, καὶ τὴν ζωήν μου πρὸς σωτηρίαν ὁδήγησον, ἵνα κράζω σωζόμενος. εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Φάσγανον φρικτόν, κατέχων ἐπεφάνης, τοῖς ἀλλοφύλοις ἀήττητος, στρατάρχης δυνάμεων, Οὐρανίων παμμακάριστε, τοὺς δὲ Πιστοὺς διέσωσας, ψάλλοντας. εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Μύστης τοῦ Χριστοῦ, ὑπάρχων Θεοφόρε, αἱρετικῶν μὲν ἐτραύωσας ἀφόβως τὸ ἄθεον, τῆς Τριάδος τριαυγάζουσαν, ὀρθοδόξως ἐδίδαξας, ἑνότητα τοῖς κραυγάζουσιν. εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον. Θεοτοκίον.

Ὕψιστον Θεόν, σαρκὶ ἀποτεκοῦσα, ἀπὸ κοπρίας μὲ ἀνύψωσον, παθῶν τῶν θλιβόντων με, καὶ δεινῶς ὅλον πτωχεύσαντα. ταῖς θείαις καταπλούτισον Πάναγνε ἀρεταῖς με, ὅπως ὑμνῶ σε σωζόμενος.

Κα-



Καταβασία. Εὐλογεῖτε Παῖδες.

Ὠδὴ, θ΄. Ἀνάρχου γεννήτορος.

ΑΞίως γεραίρει σε, ἡ σὴ Ποίμνη Ἀοίδιμε, λυτρωθεῖσα θανάτου, λιμοῦ πολέμου τε, καὶ τῶν δεινῶν περιστάσεων, ὅθεν ἀνακράζει σοι τῷ αὐτῆς φύλακι, αἴνους εὐχαριστηρίους, λαμπροφανῶς ἀναπέμπουσα.

Ἀμέμπτως ἐβίωσας, πρᾶος χρηστὸς καὶ δίκαιος, ὀρφανῶν εὐεργέτης, λιμῷ τοῖς πλέουσι, τοῖς δεομένοις ἐπίκουρος, καὶ πολεμουμένων ἀντιλήπτωρ, ΣΠΥΡΙΔΩΝ πανθαύμαστε, καὶ θλιβομένων παράκλησις.

Ἀνάρχως γεννήσαντα, Υἱὸν ὁμοῦ συναΐδιον, ἐκπορευτὸν δὲ τὸ Πνεῦμα, ἡμῖν ἐγνώρισας, τοῖς ἐν σκότει διακειμένοις, ἀγνωσίας Θεομακάριστε. διὸ ὡς πάνσοφον σὲ ΣΠΥΡΙΔΩΝ μακαρίζομεν. Θεοτοκίον.

Χαρᾶς τὴν καρδίαν μου, Παρθενομῆτορ πλήρωσον, ἡ χαρὰν δεξαμένη ἐν τῇ ἐνδύσει σου, φώτισον Ἁγνή, τῆς ψυχῆς μου τὴν πώρωσιν, ζόφῳ κρατουμένης πολλῶν παραπτώσεων.

Καταβασία. Μυστικὸς εἶ Θεοτόκε. Ἐξαπος. Γυναῖκες.

ΕΝ ᾄσμασι γεραίροντες, ἐνθύμως εὐφημοῦμέν σου, θαυμάτων Πάτερ τὴν μνήμην, ΣΠΥΡΙΔΩΝ νῦν Ἱεράρχα, Πνευματικῶς γεγηθότες. τὸ χαῖρε οὖν βοῶμέν σοι, τῶν Κερκυραίων σύλλογος, ἡμᾶς γὰρ ἔσωσας πάντας, ἐκ τῶν βαρβάρων Τρισμάκαρ. Καὶ τῆς Ἑορτῆς.

Εἰς τοὺς Αἴνους στ΄. ἦχος, πλ. α΄. Χαίροις ἀσκητικῶν.

ΧΑίροις ὁ Τριμυθοῦντος Ποιμήν, ὁ τῇ καρδίᾳ καθαρὸς καὶ θερμότατος, χερσὶ δὲ ἀθωοτάτοις, ὄρος προφθάσας Θεοῦ, καὶ ἐν τόπῳ Θείῳ μάκαρ ἔστησας, σαυτὸν ἀκηλίδωτον, ἀρετῶν ἐκθησαύρισμα. Ἱεραρχίας ὡραϊσμένον σεμνότητι, καὶ τὴν ἄρρητον ἀπολαῦσαι λαμπρότητα, παμμάκαρ ἠξίωσαι, ΣΠΥΡΙΔΩΝ σεβάσμιε, συνδιαιτᾶν Ἀσωμάτοις, ταῖς σαῖς εὐχαῖς μὲν οὖν Ἅγιε, Χριστὸν ἐκδυσώπει, τοῖς ὑμνοῦσί σε δοθῆναι χάριν καὶ ἔλεος.

Στύ-

Στύλος τῆς Ἐκκλησίας φανείς, τοὺς τὴν Τριάδα ἀσεβῶς ἀθετήσαντας· μισήσας τέλειον μῖσος, καὶ καταισχύνας αὐτούς, ἀσεβείας τρόποις ἀνεκήρυξας. καὶ ῥίψας τὸν Ἄρειον, τοῖς ἰδίοις θεσπίσμασι, καταπατήσας, ὡς κοπρίαν καὶ βόρβορον, καὶ ἐξέστησας τοῖς οἰκείοις σου θαύμασι. ὅθεν καὶ ἐδογμάτισας, Τριάδα μὲν σέβεσθαι, καὶ τροπαιοῦχος ἐφάνης, τῷ σῷ δεσπότῃ δὲ γνήσιος. αὐτὸν οὖν δυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ Θεῖον ἔλεος.

Χαίροις ὁ τῆς Κερκύρας φωστήρ, προστάτης Θεῖος Ἰατρὸς καὶ Διδάσκαλος, ὁ λύκους ἐκ μέσου πέμψας, τῶν σῶν προβάτων σοφέ, ὡς φρουρὸς ποιμνίου ἀληθέστατος. τὴν μάνδραν τηρήσας σου, ἀνεπίβατον ἔθνεσι, τοῖς ἀλλοκότοις κραταιῶς ἐνστησάμενος, κακοδοξοῦντας ἀποσεισάμενος. ὄμμα γὰρ τὸ ἀκοίμητον, καὶ λύχνος καιόμενος ταύτης ΣΠΥΡΙΔΩΝ ὑπάρχεις, καταφυγὴ καὶ ἀντίληψις. μὴ παύσῃ φυλάττειν, ἐξ ἐχθρῶν ἡμᾶς παντοίων τοὺς ὑμνοῦντάς σε. Δόξα, ἦχος β΄.

Θαυμάσατε ἔθνη ἑτερόδοξα, ὑμεῖς Ἰσμαηλῖται λαὸς τὸ παράδοξον, οὐ πυρὸς ἰσχύς, οὐ σιδήρου σκληρότης ὑμᾶς κατέπτηξεν, ἀλλὰ τοῦ ἡμετέρου Ἱεράρχου ἡ δύναμις. Θάμβος οὖν ἐχέτω ὑμῶν τὰς καρδίας. ἡμεῖς δὲ χαρᾶς ἐνεπλήσθημεν καὶ εὐφροσύνης, εὐχαριστήρια ἀναμέλποντες τῷ ἡμετέρῳ Ποιμένι, τῷ λυτρώσαντι ἡμᾶς, καὶ ποιήσαντι ἔλεος.

Καὶ νῦν, τῆς Ἑορτῆς.

Δοξολογία μεγάλη καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν Τυπικά, καὶ ἐκ τοῦ Κανόνος τῆς Ἑορτῆς. Ὠδή, γ΄. καὶ τοῦ Ἁγίου. Ὠδή, ϛ΄. Ἀπόστολος καὶ Εὐαγγ. εἰς Ἱεράρχην. Μεγαλυνάριον τοῦ Ἁγίου.

Τῶν θαυμάτων πέλαγος γεγονώς, πάσης τρικυμίας, ἐν θαλάσσῃ τε καὶ ἐν γῇ. μέγιστε ΣΠΥΡΙΔΩΝ, διάσωζε εὐχαῖς σου, τοὺς ἐπικαλουμένους μέγα σὸν ὄνομα.

ΤΕΛΟΣ.